

EX LIBRIS
GILBERT
MURRAY
VERITAS
LIBERA-
BIT
DOMI NUS ILLU
MINA TIO MEA
BONITAS
REGNA-
BIT
E.H.NEW

Gilbert Murray

Theognis

THEOGNIDIS

ELEGIAE.

SECUNDIS CURIS RECOGNOVIT

CHRISTOPHORUS ZIEGLER.

TUBINGAE,

IN LIBRARIA H. LAUPP.

1880.

Tubingae: Typis Henrici Laupp.

PRAEFATIO.

Paulo post quam librarius mihi nuntiavit secundae meae Theocriti editionis exemplaria esse divendita, idem praeter exspectationem mihi scripsit etiam de nova Theognidis mei editione mihi cogitandum esse. Dico: praeter exspectationem; nam post iudicia, quae in quibusdam ephemeridibus de libello meo facta sunt, id vix poteram sperare. Quod res aliter cecidit, haud exiguo, ingenue fateor, me affecit gaudio. Itaque absoluto poeta Syracusano statim versari coepi in poeta Megarensi, et ita quidem ut, quae ante hos undecim annos scripseram, identidem retractarem diligenter adhibitis auxiliis, quae mihi in promtu erant, et prioribus et iis, quae interea in lucem sunt edita. De quibus ut certius possit iudicari, primum ea omnia enumerabo, deinde, quas in adornanda hac secunda editione secutus sim rationes, breviter exponam.

Codicum princeps est

Mutinensis (A), membranaceus, saeculi X, forma quadrata minima, foliis 112, insigni scripturae et elegantia et antiquitate, continens Ὁμηρόκεντρα, Epigramma in imaginem occasionis, Scholia in Dionysii Περιήγησιν, Θεόγνιδος ἐλεγείων α', ἐλεγείων β', Phocylidem, Coluthum, Dionysium Periegetam. Theognis incipit fol. 45 et finitur fol. 73. Super v. 1—256. 269—274. 1231—1236 instructus est interpretatione latina e saeculo XIV. Codex videtur descriptus esse ex libro litteris quadratis scripto. Spiritus et accentus desunt saepissime. Rasurae 14. 29. 982. Primus eum comparavit et bis quidem Bekker. Mutinensem olim a se vocatum esse codicem ait in secunda

editione non quod Mutina Parisios venisset, sed communi tum omnium, qui ex Italiae superioris bibliothecis minoribus Parisinae illati essent, nomine. Quo post annum 1815 devenerit, se nescire [1]). — Remansisse Parisiis librum pretiosissimum ibique servari in Supplementis signatum nr. 388 cognitum est ex E. Milleri libello, qui inscribitur: Eloge de la chevelure, discours inédit d'un auteur grec de la bibliothèque royale, Paris, 1840. Novam eius collationem instituit in Schneidewini gratiam Pressel, vide Philol. XXIX et Nachrichten von der G. A. Universität und der königl. Gesellschaft der Wissenschaften zu Göttingen, 1852, nr. 5. Aliam neque vero ab ipso factam collationem, quae pertinet a v. 1—528, a v. 1032—1038 et a v. 1054 usque ad finem, exhibuit W. van der Mey (Studia Theognidea, 1869). Denique partem suae collationis publicavit H. van Herwerden (Animadversiones Philologicae ad Theognidem, 1870). Continet ea quae apud Meyum desunt, praeterea discrepantias inter utramque collationem. Significavi has tres collationes litteris Pr. M. H.

Ad Mutinensem proxime accedit

Vaticanus nr. 915 (O), bombycinus, saeculi XIII. Continentur eo inde a pag. 22 Musaei Hero et Leander 223—fin. Θεοκρ. σύριγξ. ὡραῖα γνωμικὰ τῆς ὀρφ (e Lithicis). Theognis. Φωκυλλίδου γνωμικὰ ὡραῖα. Πυθαγορικὰ ἔπη τὰ καλούμενα χρυσᾶ. Moschi Europa. Musaei Hero et Leander 1—222. Scholia in Syringa. Gnomae Menandri. Pindari sententiae. Ilias. Lycophron 319—469. Ilias. Odyssea. Hesiodi Op. et D. Theogonia. Lycophron 1—143. Pag. 217. Theocr. XXV, 262—fin. Batrach. 1—155. Lycophron 919—1211. μῦθοι αἰσώπειοι ἰαμβικοὶ τετράστιχοι βραβίου τοῦ σοφιστοῦ (sunt fabulae 66). Dionysii Periegesis 183—fin. Pag. 229. Theocr. XV, 71 — XVI, 68. XI, 57 — XIII, 68. Pindar. Ol. II, 43 — VII, 30. Lycophron 200—318. 470—629. Pag. 240. Theocr. II, 5 — III, 6. V, 59 — VII, 8. XXV, 96—261. VII, 9 — XI, 56.

---

1) In quanam superioris Italiae bibliotheca fuit, priusquam Parisios est transportatus?

XXII, 152—fin. XXV, 1—95. XVI, 69—fin. XVII. XXII, 1—151. Batrach. 156—fin. Ἰωάννου τοῦ Τζέτζου τὰ πρὸ Ὁμήρου, τὰ Ὁμήρου, τὰ μεθ' Ὅμηρον. — Contuli eum hieme anni 1864. 65 cum secunda editione Bekkeri, cuius collationem quinquaginta fere locis correxi, plus quam ducentis supplevi.

E Vaticano descriptus est

Venetus nr. 522 (K), ex bibliotheca Bessarionis, membranaceus, saeculi XV. Insunt in eo Dionys. Hal. Περὶ τοῦ χαρακτῆρος λυσίου τοῦ ῥήτορος. Λυσίου τοῦ ῥήτορος λόγοι. Γοργίου τοῦ ῥήτορος ἑλένης ἐγκώμιον. Ἀλκίδαμας περὶ σοφιστῶν. Ἀντισθένους λόγοι. Δημάδου ὑπὲρ τῆς δωδεκαετίας. Λυσίου ἐπιτάφιος. Ἱστορία ἀγαθίου. Ἀποφθέγματα φιλοσόφων. Plura vacua folia. Περὶ στρατηγικῶν ὀνομάτων τε καὶ τάξεων, ἀδέσποτον, cum picturis. Complura vacua folia. Theognis (fol. 181). Φωκυλλίδου γνωμικὰ ὡραῖα. Πυθαγορικὰ ἔπη τὰ καλούμενα χρυσᾶ. Moschi Europa. Musaei Hero et Leander. Syrinx. Longinus περὶ ὕψους. — Theognis est lacunosus a v. 34—832. Inde ab hoc versu singula modo desunt: εἰ, μέν, μιν, ναί, δέ, τις, 897 Κύρνε, 968 ἔβην, 1049 πατήρ, 1052 νόῳ, 1098 ὂν προφυγών, 1100 secunda pars pentametri, 1106 ν ἔσῃ. Aliquoties librarius, homo graeci sermonis parum peritus, Vaticanum inepte aut supplevit aut correxit. Cfr. 102 γ' ὅτταν. 104 δοῦναι θέλει τὸ μέγα. 249 θνατοῖσιν — ἀλλ' ἄγε. 487 σὺ ἀλλ' ἔχε. 495 φονέοντες. 543 δικάσειν. 632 ἴδ' αὖ. 664
τ
πάντα γε ἐξαπίνης. 973 ποτ'. 1095 σπέπται. Nec desunt rasurae, quas suo quamque loco indicavi. — Contuli eum aestate anni 1864 cum editione Hartungi. — Venetum e Vaticano descriptum esse apparet e lacunis, quae in illo iis ipsis locis nobis occurrunt, ubi huius superior pars humore corrupta est, adeo ut omnino non legi possit aut aegre. Vide Jahnii annales, 1868, p. 329 sqq. Indicavi istas lacunas, quae, cum in Vaticano in quavis pagina binae sint columnae, modo ad pentametros pertinent modo ad hexametros, in ADD. II. — In proecdosi etiam Veneti universam exhibui varietatem. Jam

ubi uterque consentit, solum nominavi Vaticanum. Ubi hic discedit ab illo, litterae O adieci × [1]).

Codices tertiae classis enumerat Bekker 15. [2]) Inter optimos eorum est nitide scriptus Vat. 63 (N), quem ego quoque perlustravi. [3]) Praeterea inspexi, sed sine ullo fructu, Venetum 520, duos Ambrosianos, duos Mutinenses, duos Laurentianos. — Tertiam classem ad emendandos locos difficiliores nihil conferre demonstravi in ADD. IV.

Editionum, quae temporum cursu prodierunt, hae praecipue sunt commemorandae: Ald. 1495. Iunt. 1515. Vinet. 1543. Camer. 1550. Turneb. 1553. Neander. 1559. Hertel. 1561. Steph. 1566. Crispin. 1569. Sylburg. 1591. Seber. 1603. Brunck. I 1784. Gaisford. I 1814. 1816. Bekker. I 1815. Brunck. II (curante Schaefero) 1817. Boissonad. 1823. Gaisford. II (curante G. Dindorfio) 1823. Welcker. 1826. Bekker. II 1827. Schneidewin. 1838. Orelli. 1840. Hartung. 1859. Bergk. 1843. 53. 66. — Antiquarum editionum mihi ad manus fuerunt Camer. Hertel. Crispin. Sylburg. Seber. Aldinae scripturas dedi secundum collationem Orelli, quae inest in duobus eius programmatis anno 1840 editis.

Praeter editiones consului atque in usum meum converti Rintelen, De Theognide Megarensi Poeta, 1863. Nietzsche, Zur Geschichte der Theognideischen Spruchsammlung, Mus. Rhen. 1867. Th. Fritzsche, Das Stichwort als Ordnungsprincip der Theognideischen Fragmente, Philol. XXIX. H. Schneidewin, De Syllogis Theognideis, 1878. Renner, Quaestiones de dialecto antiquioris Graecorum poesis elegiacae et iambicae

---

1) Camerario Venetum fuisse notum docent quae ille affert in annotationibus: 330 ἰθείη (per errorem ἠθείῃ), 899 ἐντός, 1035 καδδύς, 1040 ἐρχομένου. De τιμῶσ' ὃν 169 et ὃς λώιος ὃς 800 tacet. Ad hunc locum annotavit: ἔν τισι γέγραπται ὡς λώϊον.

2) Septem Parisienses, quinque Vaticanos, tum Barberinum, Laurentianum, Venetum.

3) Bekker falso ei tribuit 894 ὡς δὴ κυψελίζων, quod solus praebet A, 967 πάντως (in schedis meis habeo: clare πάντων). Fort. etiam de αἰνέω 873 dubitari potest.

in Studien zur griech. und lat. Grammatik herausgegeben von Curtius, 1868. Renner, Ueber das Formelwesen im griech. Epos und epische Reminiscenzen in der ältern griech. Elegie, 1872. Kuellenberg, De imitatione Theognidea, 1877.[1]) Heimsoeth, Emendationum Theognidearum tres partes, 1876. Dreykorn, Additamenta ad emendationem et interpretationem Theognideam, 1874. Sitzler, Emendationes Theognideae, 1878. Meyi et Herwerdeni Opuscula supra laudata. Leutsch, Philol. XXIX. XXX. M. Schmidt, Mus. Rhen. 1871.

In recognoscendo contextu has fere secutus sum rationes:

1. Haud pauca, quae in codicibus inveniuntur, consulto praeterii, velut πίν', κλύθι, εὐχοῦ, πῦργος, ἀνδρᾶσι, ἀδεῖν, ἔπεται, ὀπηδεῖ, ἥνυσα, ἐνέστι, οὔτέσσεται, κύρνε ἕξεις, εἰκάσαις, βήσησι, ἀλ' (ἀλλ'), ἄλῳ, ἄσχαλε, ἕξης (ἕξεις), ἀμϊχανίης, κύρυκος, μυρία, δειλεύμενος, ἑτέρους (ἑταίρους), καινεόφρονι.

2. Cum mihi non constet, quis editorum primus οὔτέ τι, ἔνθά περ et similia scripserit, satis habui solos nominare codices. Crispinus hac in re fere semper cum iis consentit.

3. Coniecturarum eas potissimum attuli, quae post Bergkii editionem tertiam sunt propositae.

4. In statuendis lacunis modum adhibui idemque ne nimis multa aliis poetis tribuerem cavendum mihi esse existimavi. In utroque genere imprimis Hartung longius progressus est. Haud male Mey: »μηδὲν ἄγαν. Huius vocis memores videant critici ne Theognis ipse sua parte defraudetur. Praeterea reputare velint aliud esse fragmentum aliquod abiudicare a Theognide, aliud certo cuidam poetae idem fragmentum vindicare«.

5. Renneri Quaestiones iterum perlegi. Sed per omnia ut eum sequerer, a me impetrare non potui. Quod si fecissem, saepe optimorum librorum scriptura commutanda fuisset, ut σοι fieret τοι, ου ευ, ω εω, οι εοι, η εα, εις εας. Tutius mihi visum est sequi exemplum eorum, qui in carminibus, quae

1) Schneidewini et Kuellenbergi dissertationes insertae sunt primo volumini dissertationum philologicarum Argentoratensium, 1879.

neque auctoris neque aetatis unius sunt, non omnia ad unam eandemque normam redigenda esse arbitrantur.

6. Disputationem de vita et scriptis Theognidis, de variis sententiis, quae de reliquiis, quae sub eius nomine circumferuntur, a viris doctis sunt propositae, hic quoque omisi. Nolui nimis amplificare libellum, quem scio ob id ipsum, quod compendiosa, ut ita dicam, erat forma, multis fuisse acceptum. Qui quid hodie de Theognideis statuatur, breviter velit cognoscere, eum iuvabit legere commentationem H. Schneidewini.

Reliquum est, ut quam maximas agam gratias Theodoro Fritzschio et Henrico Kratzio, quorum hic, olim collega mecum coniunctissimus, variis de locis quaerenti humanissime respondit, ille Lexicon Theognideum ab ipso summa cum diligentia confectum ultro mihi transmisit pluresque per menses liberalissime eius usum concessit.

Stuttgardiae mense Januario MDCCCLXXX.

ΘΕΟΓΝΙΔΟΣ ΕΛΕΓΕΙΑ.

Ὦ ἄνα, Λητοῦς υἱέ, Διὸς τέκος, οὔποτε σεῖο
  λήσομαι ἀρχόμενος οὐδ' ἀποπαυόμενος,
ἀλλ' αἰεὶ πρῶτον σὲ καὶ ὕστατον ἔν τε μέσοισιν
  ἀείσω· σὺ δέ μοι κλῦθι καὶ ἐσθλὰ δίδου.

Φοῖβε ἄναξ, ὅτε μέν σε θεὰ τέκε πότνια Λητώ
  φοίνικος ῥαδινῆς χερσὶν ἐφαψαμένη,
ἀθανάτων κάλλιστον, ἐπὶ τροχοειδέι λίμνῃ,
  πᾶσα μὲν ἐπλήσθη Δῆλος ἀπειρεσίη
ὀδμῆς ἀμβροσίης, ἐγέλασσε δὲ γαῖα πελώρη,
  γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς.

Ἄρτεμι θηροφόνη, θύγατερ Διός, ἣν Ἀγαμέμνων
  εἵσαθ', ὅτ' ἐς Τροίην ἔπλεε νηυσὶ θοῇς,
εὐχομένῳ μοι κλῦθι, κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε.
  σοὶ μὲν τοῦτο θεὰ σμικρόν, ἐμοὶ δὲ μέγα.

Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου
  ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ' ἔπος·
ὅ ττι καλόν, φίλον ἐστί· τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστί.
  τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

Θεόγνιδος ἐλεγείων α' A. Θ. στίχοι ἡρωελεγεῖοι K. ἀρχὴ σὺν θεῷ τοῦ Θ. ὅς διὰ στίχων ἡρωελεγείων O.

3. πρῶτον σὲ] Bergk. πρῶτόν τε vulg. — 4. ἀείδω voluit Bergk., ὑμνήσω Cobet. — μοι] AO. μευ vulg. Reliqua habet K scripta in rasura. — 6. ῥαδινῆς] vulg. ῥαδινῆισ A. ῥαδινῆς O. Bergk. — 7. τροχοείδεϊ A. — 9. ἐγέλασε O. γήθησε v. s. idem. — 12. εἵσαθ'] Crispin. εἴσαθ' vulg. A sec. Hase εἵσαθ', sec. alios εἴσαθ' superscr. cognovit. — θοῇς] Bekker. θοῆς A. θοαῖς vulg. — 14. θεᾶ sequente rasura A. — μικρὸν A. Bekker. — 17. ἐστί] AO. vulg. ἐστίν Bekker. Aldinam ν plerumque omittere affirmat Orelli ad 29 et 139. De A annotavit Bekker. ad 856: ἔδραμεν, ut solet.

Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
τοῖσδ' ἔπεσιν, λήσει δ' οὔποτε κλεπτόμενα.
οὐδέ τις ἀλλάξει κάκιον τοὐσθλοῦ παρεόντος.
ὧδε δὲ πᾶς τις ἐρεῖ „Θεύγνιδός ἐστιν ἔπη
τοῦ Μεγαρέος." πάντας δὲ κατ' ἀνθρώπους ὀνομαστός
ἀστοῖσίν γ' οὔ πω πᾶσιν ἁδεῖν δύναμαι.
οὐδὲν θαυμαστόν, Πολυπαΐδη· οὐδὲ γὰρ ὁ Ζεύς
οὔθ' ὕων πάντεσσ' ἁνδάνει οὔτ' ἀνέχων.

Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτός
Κύρν' ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον.
πέπνυο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισι
τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος.
ταῦτα μὲν οὕτως ἴσθι. κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο·
καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ παρὰ τοῖσιν
ἵζε, καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.
ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσι
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλεε, καί ποτε φήσεις
εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.

19. σφραγὶς O. — 20. ἔπεσι O. — κλεπτόμενα] A. — μένα O. — μένη vulg. — 21. ἐκλέξει (ἐκ e ras.) K. ἀλέξει O. — τοὐσθλοῦ] Bekker. τ'ουσθλοῦ AO. τοῦ'σθλοῦ vulg. — 22. πᾶς τις ἐρεῖ] AO. πᾶς ἐρέει vulg. — Θεόγνιδός Ald. — 23. Μεγαρέος] Bekker. in pr. Μεγαρέως vulg. — ὀνομαστός] AO. ὀνομαστοῦ cum commate aut puncto vulg. — 24. ἀστοῖσίν γ'] Dreykorn. ἀστοῖσιν δ' vulg. ἀστοῖσι δ' O et A sec. H. ἀστοῖς τοῖσδ' Bergk. πάντας μὲν ἐπ' — ὀνομαστός, ἀστοῖσιν δ' Hartung. — ιν ἁδ in πᾶσιν ἁδεῖν e ras. K. — 25. Πολυπαΐδη] Elmsl. Πολυπαίδη vulg., et sic porro. — 26. πάντεσσ'] Porson. παντεσσὶ sec. Hase, πάντεσσί sec. Noltium et H. A. πάντας vulg. πάντως Vinet. et Cam. Cfr. 522 πλεόνεσσ'. — 27—28 separavit Bekker. a prioribus, 29—30 a proxime sequentibus. Bergk. coniunxit 27—30, Hartung 27—38. — 29. πέπνυο] Bergk. πεπνυ ο cum ras. A. sec. M. πέπνυσο vulg. — ἔργασι O. — ἀδίκοισι] AO. vulg. — 30. ἔλπεο Hartung. e coni. Herm. — 33. μετὰ τοῖσι O. — παρὰ τοῖσιν] Brunck. μετὰ τοῖσιν vulg. παρὰ τοῖσιν — μετὰ τοῖσιν Bergk. e Platonis Menone p. 95 D. — 35. ἀπ' O. Cam. — διδάξεαι ut Plat. Xenoph. sec. M. etiam A. (?) δαήσεαι Schmidt. — κακοῖσι] AO. vulg. — 36. συμμίσγῃς] Bekker. συμμισγῇις A. συμμιγῇς O. συμμιχθῇς vulg. — 40. ὑμετέρης O. Ald.

ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες, ἡγεμόνες δέ
  τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.

Οὐδεμίαν πω Κύρν' ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες·
  ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδῃ,
δῆμόν τε φθείρωσι, δίκας τ' ἀδίκοισι διδῶσιν
  οἰκείων κερδέων εἵνεκα καὶ κράτεος,
ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμιεῖσθαι,
  μηδ' εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ,
εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται,
  κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα.
ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν.
  μούναρχος δὲ πόλει μή ποτε τῇδε ἅδοι.

Κύρνε, πόλις μὲν ἔθ' ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι,
  οἳ πρόσθ' οὔτε δίκας ᾔδεσαν οὔτε νόμους,
ἀλλ' ἀμφὶ πλευρῇσι δορὰς αἰγῶν κατέτριβον,
  ἔξω δ' ὥστ' ἔλαφοι τῆσδ' ἐνέμοντο πόλεος.
καὶ νῦν εἴσ' ἀγαθοί, Πολυπαΐδη· οἱ δὲ πρὶν ἐσθλοί
  νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν;
ἀλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες,
  οὔτε κακῶν γνώμας εἰδότες οὔτ' ἀγαθῶν.

Μηδένα τῶνδε φίλον ποιεῦ Πολυπαΐδη ἀστῶν
  ἐκ θυμοῦ, χρείης εἵνεκα μηδεμιῆς·
ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
  χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ' ὁτιοῦν
σπουδαῖον· γνώσῃ γὰρ ὀιζυρῶν φρένας ἀνδρῶν,
  ὥς σφιν ἐπ' ἔργοισιν πίστις ἔπ' οὐδεμία,

42. εἰς A. — Cfr. 1081 et ADD. IV. — 44. ἅδῃ] Bekker. ἅδηι A. ἅδη: O. ἁδῇ K. ἁδῇ vulg. κακοῖσι δοκῇ Vinet. et Cam. — 45. φθείρουσι — διδοῦσι (διδῶσι sec. Pr.) A. — 46. κερδέων] AO. κέρδεων K. κερδῶν vulg. — καὶ om. O. — 47. πόλιν κείνην K. — ἀτρεμιεῖσθαι] Bergk. ἀτρεμέεσθαι vulg. — 48. πολλῇ κεῖται Epkema. — ἡσυχία superscr. η O*. — 51. στάσιές τε] A. στάσις ἐστὶ vulg. — 52. μούναρχοι AO. — ἅδει superscr. οι O. ἁδεῖν K. — 55. πλευραῖσι AO. — 56. τῆσδ' — πόλεος] A. τήνδ' — πόλιν vulg. — 57. εἶσ' A (sec. M.) O. — Cf. 1109. et ADD. IV. — 58. κε ταῦτα O*. — 62. χρειῆς οὕνεκα A. Praeter χρεία in usu fuisse etiam χρειά suspicatur Ahrens., Beiträge etc. p. 74. — μὴδὲ μιῆς A. μὴδὲ μιᾶς O. μηδεμιᾶς K. — 65. σπουδαίων O. — 66. ἔργοισι AO. — ἐπ' pro ἔπ' AO*. ἔτ' Cam.

ἀλλὰ δόλους τ᾽ ἀπάτας τε πολυπλοκίας τ᾽ ἐφίλησαν
  οὕτως ὡς ἄνδρες μηκέτι σωζόμενοι.

Μή ποτε Κύρνε κακῷ πίσυνος βούλευε σὺν ἀνδρί,
  εὖτ᾽ ἂν σπουδαῖον πρῆγμ᾽ ἐθέλῃς τελέσαι,
ἀλλὰ μετ᾽ ἐσθλὸν ἰὼν βούλευ καὶ πολλὰ μογῆσαι
  καὶ μακρὴν ποσσὶν Κύρν᾽ ὁδὸν ἐκτελέσαι.

Πρῆξιν μηδὲ φίλοισιν ὁμῶς ἀνακοινέο πᾶσι·
  παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.

Παύροισιν πίσυνος μεγάλ᾽ ἀνδράσιν ἔργ᾽ ἐπιχείρει,
  μή ποτ᾽ ἀνήκεστον Κύρνε λάβῃς ἀνίην.

Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
  ἄξιος ἐν χαλεπῇ Κύρνε διχοστασίῃ.

Παύρους εὑρήσεις Πολυπαΐδη ἄνδρας ἑταίρους
  πιστοὺς ἐν χαλεποῖς πρήγμασι γινομένους,
οἵτινες ἂν τολμῷεν, ὁμόφρονα θυμὸν ἔχοντες,
  ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.
τόσσους δ᾽ οὐχ εὕροις διζήμενος οὐδ᾽ ἐπὶ πάντας
  ἀνθρώπους, οὓς νηῦς μὴ μία πάντας ἄγοι,
οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
  αἰδώς, οὐδ᾽ αἰσχρὸν χρῆμ᾽ ἔπι κέρδος ἄγει.

67. δόλους τ᾽] Brunck. δόλους vulg. — 68. σωιζ— A. — 71. ἐσθλῶν K. Cam. ἐσθλῶ̂ν O. — βούλευ καὶ] A. βούλευε O. βουλεύεο vulg. — μογῆσαι] O. μογήσας vulg. — 72. ποσσὶ AO. ποσὶ K. — ἐκτελέσαι] O. ἐκτελέσας vulg. ἐκτελέσα corr. —λέσας A. — 73. ὁμῶς] Brunck. ὅλως vulg. ὅμως Bekker. — ἀνακοινέο] Bekker. ἀνακοίνεο vulg. — πᾶσι] AO. vulg. φίλοις ἀδόλως (aut cum Brunck. φίλοισιν ὁμῶς) ἀνακοινεῦ ἅπασαν coni. Bergk. Hartung. partim Brunckium secutus est partim Bergk. ὅλως ἀνακοίνεε πᾶσαν Dreykorn. — 74. παῦροι τοὶ O*. — 75. παύροισι O. — 80. γινομένους] O. Cam. In A ubique sic scriptum esse [exceptis v. 162. 218.] annotavit ad hunc locum Bekker. γιγν— vulg. — 83. τόσσους δ᾽ οὐχ εὕροις] Hartung. οὐ τόσσους χ᾽ εὕροις Bergk., qui 83—86 a praegressis separavit. Idem in notis: nisi praestat σπουδαίους χ᾽ εὕροις. τούτους οὐχ εὕροις A. τούτους οὐχ εὑρήσεις O. τοὺς δ᾽ οὐχ εὑρήσεις vulg. — 84. νηῦς] Bekker. in pr. ναῦς vulg. — ἄγοι] AO. ἄγει Ald. — 86. ἐπὶ AO. Ald.

Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ,
εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος.

Ἤ με φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
ἔχθαιρ', ἀμφαδίην νεῖκος ἀειράμενος.
ὃς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
δεινός, Κύρν', ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.

Ἢν τις ἐπαινήσῃ σε τόσον χρόνον ὅσσον ὁρῴης,
νοσφισθεὶς δ' ἄλλῃ γλῶσσαν ἵῃσι κακήν,
τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔτι μάλ' ἐσθλός,
ὅς κ' εἴπῃ γλώσσῃ λώια, φρονῇ δ' ἕτερα.
* *
ἀλλ' εἴη τοιοῦτος ἐμοὶ φίλος, ὃς τὸν ἑταῖρον
γινώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει
ἀντὶ κασιγνήτου. σὺ δέ μοι φίλε ταῦτ' ἐνὶ θυμῷ
φράζεο, καί ποτ' ἐμοῦ μνήσεαι ἐξοπίσω.

Μηδείς σ' ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι,
Κύρνε· τί δ' ἔστ' ὄφελος δειλὸς ἀνὴρ φίλος ὤν;
οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
οὔτέ κεν ἐσθλὸν ἔχων τοῦ μεταδοῦν ἐθέλοι.
δειλοὺς δ' εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν·
ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.

87. ἔπεσι AO*. — 88. καὶ σοὶ A. — 89—92 coniunxit Bergk. cum priori disticho pro ἄλλῃ scribens ἄλλας, pro ἤ με ἀλλά. Idem fecit Hartung. Cfr. ADD. I. — 92. δειλὸς Bekker. — κυρεῖ pro Κύρν' O. — 93. ἢν] Welcker. ἄν AO. εἴ vulg. κἢν Hartung., qui haec cum prioribus conexuit. — ἐπαινήσῃ] Bekker. ἐπαινήση AK. ἐπαινήσει O. ἐπαινέσει Ald. ἐπαινέσσει alii. — ὁρῴης] Bergk. ὁρώιης A. ὁρώης O. ὁρῴη vulg. — 94. ἄλλην O. et sec. Pr. et M. A. ἄλλῃ sec. Bekker. — ἵῃσι] Bekker. ἵησι vulg. — 96. εἴποι O. — λώια] AO. λῷα Bergk. λῷστα vulg. — φρονῇ] A. φρονεῖ vulg. — 97—100 separavit Bergk. a prioribus. Hartung. statuit post 96 lacunam. — 97. ἐμὸς O*. — 98. γινώσκων] A (ut solet. *Bekker.*) O. Cam. γιγν— vulg. — φέρειν O. — 99. ἐν O. — 100. ποτ' ἐμοῦ] Brunck. ποτεμου A. ποτέ μου vulg. — 101. σ' om. O. Ald. — 102. δειλός] A. γ' ὅτταν K. om. O. κεῖνος vulg. — 103. πόνοιο O. — 104. οὔτέ κεν] O*. — τοῦ μεταδοῦν ἐθέλοι] Buttmann. Idem legi in Iunt., sed fort. ex errore, affirmat Orelli. τοῦ μεταδοῦναι θέλοι A. τοῦ μεγάλου δοῦναι θέλει O. τοῦ μεταδοῦν' ἐθέλει (ἐθέλοι) vulg. δοῦναι θέλει τὸ μέγα K. — 105. δ' om. A, quem secutus est Bekker. haec a prioribus seiungens. — ἔρδοντι O.

οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήιον ἀμῷς,
 οὔτε κακοὺς εὖ δρῶν εὖ πάλιν ἀντιλάβοις·
ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον. ἢν δ' ἓν ἁμάρτῃς,
 τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης.
οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες,
 μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω.

Μή ποτε τὸν κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον,
 ἀλλ' αἰεὶ φεύγειν ὥστε κακὸν λιμένα.

Πολλοί τοι πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
 ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

Κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδέν,
 Κύρν', οὐδ' εὐλαβίης ἐστὶ περὶ πλέονος.

Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἀνσχετὸς ἄτη,
 Κύρνε, καὶ ἐξευρεῖν ῥήδιον ἀνδρὶ σοφῷ.
εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λελήθῃ
 ψυδρὸς ἐών, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχῃ,
τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσι,
 καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.
οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὔτε γυναικός,
 πρὶν πειρηθείης ὥσπερ ὑποζυγίου·

107. τὸν pro ἂν O. — βαθὺν O. — ἀμᾶς K. ἀμ$^{\tilde{\alpha}\sigma}$ O. — 111. ἐπαυρίσκουσι suspectum est: et insolens est forma activa et sententia aliud requirit. Cfr. Bergk. et ADD. IV. — 115. βρώσιος εἰσὶν O. Ald. Cfr. 643 et Pseudophocyl. 92. — 117. δ' om. O. — χ. γνῶναι οὐδέν O. χ. οὐδὲν γνῶναι K. — 118. ἔστι AK. Hartung. hoc distichon cancellis circumdedit. In pentametro, qui variis coniecturis tentatus est (ἔσθ' ὅπερ ᾗ Heimsoeth.), supplendum erit οὐδέν. — 119. ἄσχετος A (supra scripto difficilis) O. Ald. — 120. ῥήδιον] ῥᾴδιον vulg. — 121. λελήθῃ] Bekker. λελήθη A. λελήθει O. λέληθε vulg. — 122. ψυδρὸς ἐών] Brunck. e coni. Ruhnkenii, quam A confirmavit. ψευδοὺς ἐὼν O. ψευδὴς ὤν K. ψεδνὸς ἐὼν vulg. — ἐνὶ O*. — ἔχῃ] Bekker. ἔχηι A. ἔχει ut K vulg. O ev. — 123. βροτοῖσι] AO. vulg. — 125. οὐδὲ γὰρ AO. οὐ γὰρ ἂν habet etiam Aristot. Eth. Eudem., VII, 2. — εἰδοίης O. — οὐδὲ ut Aristot. Bergk. et Bekker. — 126. πειρηθείης] A. πειρα— vulg.

οὐδέ κεν εἰκάσσαις ὥσπέρ ποτ᾽ ἐς ὥριον ἐλθών·
πολλάκι γὰρ γνώμην ἐξαπατῶσ᾽ ἰδέαι.

Μήτ᾽ ἀρετὴν εὔχου Πολυπαΐδη ἔξοχος εἶναι
μήτ᾽ ἄφενος· μοῦνον δ᾽ ἀνδρὶ γένοιτο τύχη.

Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
ἔπλετο, τοῖς ὁσίη Κύρνε μέμηλε δίκη.

Οὐδεὶς Κύρν᾽ ἄτης καὶ κέρδεος αἴτιος αὐτός,
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.
οὐδέ τις ἀνθρώπων ἐργάζεται ἐν φρεσὶν εἰδὼς
ἐς τέλος εἴτ᾽ ἀγαθὸν γίνεται εἴτε κακόν·
πολλάκι γὰρ δοκέων θήσειν κακὸν ἐσθλὸν ἔθηκε,
καί τε δοκέων θήσειν ἐσθλὸν ἔθηκε κακόν.
οὐδέ τῳ ἀνθρώπων παραγίνεται ὅσσ᾽ ἐθέλῃσιν·
ἴσχει γὰρ χαλεπῆς πείρατ᾽ ἀμηχανίης.
ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν·
θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.

Οὐδείς πω ξεῖνον Πολυπαΐδη ἐξαπατήσας
οὐδ᾽ ἱκέτην θνητῶν ἀθανάτους ἔλαθε.

Βούλεο δ᾽ εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν
ἢ πλουτεῖν ἀδίκως χρήματα πασάμενος.
ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ᾽ ἀρετή ᾿στι,
πᾶς δέ τ᾽ ἀνὴρ ἀγαθὸς Κύρνε δίκαιος ἐών.

127. ὥσπέρ] O*. — ποτ ἐσώρν/ O. ποτ᾽ ἐσώριον A. Cam. ποτ᾽ ἐς ὥριον Ald. ποτ᾽ ἐς ὤνιον Brunck. e coni. Cam. Vide ADD. IV. — 132. τοῖς] ita quis primus scripserit, nescio, fort. Vinet. aut Turneb. οἷς libri. ἔπλεθ᾽ ὅσοις Hartung. e Stob. — 136. γίνεται] O. γίγν— vulg. — 137. ἔθηκε] O. vulg. — 138. δοκέων] Leutsch. δοκῶν vulg. καὶ δοκέων Mey. — 139. παραγίνεται] O. Ald. παραγίγν— vulg. — ὅσ᾽ ἐθέλῃσι Ald. ὅσσ᾽ ἐθέλησι Cam. ὅσσα θέλῃισιν A. ὅσα θέλησιν O. — 142. κὰ σφέτερον K. κασφέτ— O. κὰσφ— Ald. — 144. θνητῶν A sec. H., qui coni. ἀλιτῶν. — ἔλαθε] O. vulg. — 146. πασάμενος] Brunck. πασσάμενος vulg. πασσαμένω K. — 147—148 vulg. separantur a praegressis. Brunck. recte coniunxit. — 147. ἀρετή ᾿στι] vulg. ἀρετή ἐστι A. ἀρέτ᾽ ἐστί K. ἀρέτ᾽ ἐστι O.

Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσι,
  Κύρν᾽· ἀρετῆς δ᾽ ὀλίγοις ἀνδράσι μοῖρ᾽ ἕπεται.

Ὕβριν Κύρνε θεὸς πρῶτον κακὸν ὤπασεν ἀνδρί,
  οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.

Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
  ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.

Μή ποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθείς
  μηδ᾽ ἀχρημοσύνην οὐλομένην πρόφερε·
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως,
  ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.

Μή ποτε Κύρν᾽ ἀγορᾶσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδείς
  ἀνθρώπων ὅ τι νὺξ χἠμέρη ἀνδρὶ τελεῖ.

Πολλοί τοι χρῶνται δειλαῖς φρεσί, δαίμονι δ᾽ ἐσθλῷ,
  οἷς τὸ κακὸν δοκέον γίνεται εἰς ἀγαθόν.
εἰσὶν δ᾽ οἳ βουλῇ τ᾽ ἀγαθῇ καὶ δαίμονι δειλῷ
  μοχθίζουσι, τέλος δ᾽ ἔργμασιν οὐχ ἕπεται.

Οὐδεὶς ἀνθρώπων οὔτ᾽ ὄλβιος οὔτε πενιχρός,
  οὔτε κακὸς νόσφιν δαίμονος οὔτ᾽ ἀγαθός.

Ἄλλ᾽ ἄλλῳ κακόν ἐστι, τὸ δ᾽ ἀτρεκὲς ὄλβιος οὐδείς
  ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

149. δίδωσι] AO*. — 150. Sic A. ἡ δ᾽ ἀρετὴ ὀλίγοις ἀνδράσι Κύρν᾽ ἕπεται vulg. — 151. κακῶι A. — ὤπασ᾽ K. — 152. μηδεμίην A. — θέμενον O. θέμενος (ος e ras.) K. Ald. θεμενον superscr. ω A. — Cfr. 822 et Bergk. — 153. Cfr. Solon. fr. 8. — ὅτ᾽ ἂν A. — 154. ἀνθρώπων AO. — 155. χολωθῇς K. μοι — χαλεφθείς Stob. — 157. ἄλλως] Brunck. e Stob. ἄλλῳ vulg. — 158. μηδὲν] A. δ᾽ οὐδὲν vulg. δ᾽ οὐδ e ras. K. — 160. χἠμέρη] Bekker. χ᾽ ἡμέρη A. χ᾽ ἡμέρα vulg. — πελεῖ K. — 162. γίνεται] O. Cam. γίγν— vulg. — 163. εἰσὶ O. — δειλῷ] Bekker. δειλῶι A. κακῷ O. φαύλῳ vulg. — 166. νόσφι K. — 168. Cfr. 850.

Ὃν δὲ θεοὶ τιμῶσιν, ὁ καὶ μωμεύμενος αἰνεῖ·
  ἀνδρὸς δὲ σπουδὴ γίνεται οὐδεμία.

Θεοῖς εὔχου· θεοῖσιν γὰρ ἔπι κράτος. οὔτοι ἄτερ θεῶν
  γίνεται ἀνθρώποις οὔτ' ἀγάθ' οὔτε κακά.

Ἄνδρ' ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα,
  καὶ γήρως πολιοῦ Κύρνε καὶ ἠπιάλου,
ἣν δὴ χρὴ φεύγοντα καὶ ἐς βαθυκήτεα πόντον
  ῥιπτεῖν καὶ πετρέων Κύρνε κατ' ἠλιβάτων.
καὶ γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτέ τι εἰπεῖν
  οὔθ' ἔρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται.

Χρὴ γὰρ ὁμῶς ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
  δίζησθαι χαλεπῆς Κύρνε λύσιν πενίης.

Τεθνάμεναι, φίλε Κύρνε, πενιχρῷ βέλτερον ἀνδρί,
  ἢ ζώειν χαλεπῇ τειρόμενον πενίῃ.

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα Κύρνε καὶ ἵππους
  εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
  ἐσθλὸς ἀνήρ, ἤν οἱ χρήματα πολλὰ διδῷ.

169. δὲ om. O*. — τιμῶσιν ὃ AO. τιμῶσ', ὃν (e ras.) K. Bergk. τιμῶσιν, ὁ καὶ κοιμεύμενος ἄνει Ahrens. — ἀγρεῖ Schneidewin. — αἱρεῖ, quod dubitanter proposuerat O. Schneider., Hartung. In vulgata offensui est metathesis particulae. — 170. γίνεται] O. Cam. γίγν-- vulg. — 171. θεοῖσιν γὰρ ἔπι] coni. Bekker. θεοῖς ἐστιν ἔπι Bergk. θεοῖσιν ἐπι A. οἷς ἐστι O. οἷς ἐστι μέγα vulg. — οὔτοι] A. οὔτι vulg. — 172. γίνεται] O. Cam. γίγν— vulg. Reliquis locis γίνεται apud Th. in pentametro constanter in primo alterius partis pede positum esse observavit Kuellenberg pag. 50. — 173. δάμνησι A sec. M., δαμνῆσι sec. Pr. — 175. χρὴ πενίην omnes, qui his versibus utuntur. — βαθυκήτεα] A. μεγακήτεα vulg. (etiam O.) — 176. πετρέων] A. πετρῶν vulg. — καθ ηλιβ— A. — 177. πᾶς γὰρ scriptores, qui hoc v. utuntur, et quaedam editt. cum Vinet. — οὔτέ τι] O*. — 178. οὔτ' ἔρξαι O. Ald. — 179. τε om. O. — θαλάττης K. — 180. δίζησθαι] A. δίζεσθαι vulg. De K ambigo; in O videbatur mihi ε in η correctum esse. — χαλεπῇ A pr. χαλεπόν K. — 181. τεθνάμεναι] A. τεθνάναι (—ᾶναι) vulg. K lac. O ev. Cfr. Herm. ad Aeschyli Agam. 517. — βέλτιον K. βέλτι/ O. — 185. Camer.: γράφεται ἐν ἐνίοις κτήσασθαι — φέρῃ. — κύσασθαι coni. Schmidt. Cfr. Bergk.

οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
  πλουσίου, ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
χρήματα γὰρ τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημε
  καὶ κακὸς ἐξ ἀγαθοῦ. πλοῦτος ἔμιξε γένος.
οὕτω μὴ θαύμαζε γένος Πολυπαΐδη ἀστῶν
  μαυροῦσθαι· σὺν γὰρ μίσγεται ἐσθλὰ κακοῖς.

Αὐτός τοι ταύτην εἰδὼς κακόπατριν ἐοῦσαν
  εἰς οἴκους ἄγεται, χρήμασι πειθόμενος,
εὔδοξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
  ἐντύει, ἥτ' ἀνδρὸς τλήμονα θῆκε νόον.

Χρῆμα δ', ὃ μὲν Διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται
  καὶ καθαρῶς, αἰεὶ παρμόνιμον τελέθει.
εἰ δ' ἀδίκως παρὰ καιρὸν ἀνὴρ φιλοκερδέι θυμῷ
  κτήσεται, εἴθ' ὅρκῳ πὰρ τὸ δίκαιον ἑλών,
αὐτίκα μέν τι φέρειν κέρδος δοκεῖ, ἐς δὲ τελευτὴν
  αὖθις ἔγεντο κακόν, θεῶν δ' ὑπερέσχε νόος.
ἀλλὰ τάδ' ἀνθρώπων ἀπατᾷ νόον· οὐ γὰρ ἐπ' αὐτοῦ
  τίνονται μάκαρες πρήγματος ἀμπλακίας,
ἀλλ' ὁ μὲν αὐτὸς ἔτισε κακὸν χρέος, οὐδὲ φίλοισιν
  ἄτην ἐξοπίσω παισὶν ὑπερκρέμασεν·
ἄλλον δ' οὐ κατέμαρψε δίκη· θάνατος γὰρ ἀναιδὴς
  πρόσθεν ἐπὶ βλεφάροις ἕζετο κῆρα φέρων.

187. οὐδὲ γυνὴ] A. οὐδεμίη O. οὐδεμία vulg. — 188. βούλετ' O*. Ald. — 189—192 Brunck. cum prioribus coniunxit. — 189. γὰρ] Brunck. e Stob. μὲν vulg. — ἔγημε] O. vulg. — 190. πλοῦτος] ut Vinet. coni. A. πλούτου vulg. — 193. αὐτὸς τοιαύτην O. Duo nomina propria, quae Theognis posuerit, breviatoris opera oblitterata esse putat Bergk. — 195. εὔδοξος] A. ἔνδοξος vulg. — 196. ἐντύει] Brunck. ἐντύνει vulg. ἐκτίνει K. In O videbatur mihi ἐκτίνει correctum esse in ἐντύνει. — 197—208 *Soloni* adscribunt Bergk. et Hartung. — 197. χρῆμα δ', ὃ μὲν] Bergk. χρῆμα δ' ὁ μὲν A. χρήματα ᾧ K. χρήμαθ' ᾧ O. χρήματα δ' ᾧ vulg. — 203. ἐπ' αὐτοῦ] Jacobs. ἐπ' αὐτούς Ald. et sec. Pr. A. ἐπ' αὐτοῖς Turneb. ἔτ' αὐτοὺς O. Cam. et A sec. M. — 204. γίνονται Ald. γίγνονται Turneb. — ἀμπλακίας] ut Brunck. coni. A. —κίης vulg. —κίῃς Turneb. — 205. αὐτοὺς O. — ἔτισε] A. τῖσε K. vulg. τίσε O. — οὐδὲ] AO. ὃς δὲ vulg. — 206. ὑπερκρέμασεν] Bergk. ὑπεκρέμασεν O. ἐπεκρ— vulg. — 207. αὐτὸν δ' Cam. et Hartung. servata v. 205 vulgata ὃς δέ. — κατάμαρψε A sec. Pr., κατημ— sec. H.

Οὐδείς τοι φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος·
  τῆς δὲ φυγῆς ἐστὶν τοῦτ' ἀνιηρότατον.

Οἶνόν τοι πίνειν πουλὺν κακόν. ἢν δέ τις αὐτόν
  πίνῃ ἐπισταμένως, οὐ κακός, ἀλλ' ἀγαθός.

Κύρνε, φίλους κάτα πάντας ἐπίστρεφε ποικίλον ἦθος,
  ὀργὴν συμμίσγων ἥντιν' ἕκαστος ἔχει.

Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ,
  τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.
νῦν μὲν τῇδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος χρόα γίνου·
  κρέσσων τοι σοφίη γίνεται ἀτροπίης.

Μηδὲν ἄγαν ἄσχαλλε ταρασσομένων πολιητέων,
  Κύρνε, μέσην δ' ἔρχευ τὴν ὁδόν, ὥσπερ ἐγώ.

Ὅστίς τοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδέν,
  ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
κεῖνός γ' ἄφρων ἐστί, νόου βεβλαμμένος ἐσθλοῦ.
  ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα,
ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδίῃσιν ἕπεσθαι,
  τῷ δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἄδον.

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν·
  οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,

209. οὐκ ἔστιν Bergk. — 210. ἔστιν K. ἔστϊ O. — ἀνιηρότατον] Bergk. —ότερον vulg. Vide ADD. I. — 211—212 amovit Brunck., cancellis saepsit Bergk. Cfr. 509. — 211. οἶνον — πολὺν AO*. — 212. πίνει O*. — 213—214. 217—218. Cfr. 1071—1074. Vulg. coniunguntur 213—218. — 213. θυμέ A. — κατὰ O*. vulg. — 215. ὅστις K. — 216. προσομιλήσῃ] Brunck. —ήσει vulg. Tribus locis affert hoc distichon, sed alio modo scriptum Plutarch. Cfr. Bergk. — 217. τῆνδ' A sec. M. — τότε O*. Cam. et sec. Pr. A. — γίνου] O*. γίγνου vulg. — 218. κρέσσων] A sec. Bekker., κρείσσων sec. M. κρεῖσσόν Brunck. κραιπνόν vulg. — τι O*. — γίνεται] O. Cam. γίγν— vulg. — εὐτροπίης Ald. — 219. μηδὲν] A. Cam. μηδ K. μὴδ' O. μὴδ' Ald. — ἄγαν γ' Cam. — πολιητέων] A. πολιτάων O. πολιητῶν vulg. — ἔρχευ] A. ἔρχου vulg. — 221. ὅστίς] O*. — οὐδενὸς O. — 223. κεῖνοσδ O*. — βεβλαμμένου O. — 225. κακοκερδίῃσιν] AO. — δείῃσιν vulg. — 226. ἄδον O. ἁδεῖν K. — 227—232 *Solonis* sunt. Cfr. El. IV, 71—76. Qui Theognidea concinnavit, quaedam ut fere immutavit. — 228. ἡμέων] ἡμῶν vulg. — πιστὸν O. — βίον] ut vulg. A (superscr. divitias) O. νόον Bekker.

διπλάσιον σπεύδουσι. τίς ἂν κορέσειεν ἅπαντας;
  χρήματά τοι θνητοῖς γίνεται ἀφροσύνη.
ἄτη δ' ἐξ αὐτῆς ἀναφαίνεται, ἣν ὁπότε Ζεύς
  πέμψῃ τειρομένοις, ἄλλοτε ἄλλος ἔχει.

Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ,
  Κύρν', ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.

Οὐδὲν ἔτι πρέπει ἧμιν ἅτ' ἀνδράσι σωζομένοισιν,
  ἀλλ' ὅσα πάγχυ πόλει Κύρνε ἁλωσομένῃ.

Σοὶ μὲν ἐγὼ πτέρ' ἔδωκα, σὺν οἷς ἐπ' ἀπείρονα πόντον
  πωτήσῃ καὶ γῆν πᾶσαν ἀειράμενος
ῥηιδίως, θοίνῃς δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ
  ἐν πάσαις, πολλῶν κείμενος ἐν στόμασι.
καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
  εὐκόσμως ἐρατοὶ καλά τε καὶ λιγέα
ᾄσονται. καὶ ὅταν δνοφερῆς ὑπὸ κεύθεσι γαίης
  βῇς πολυκωκύτους εἰς Ἀίδαο δόμους,
οὐδὲ τότ' οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις
  ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα.

230. γίνεται] O. γίγν— vulg. — 232. πέμψῃ] Bekker. πέμψηι A. πέμψει vulg. — ἄλλοτ' K. ἄλλοτε τ' AO. — 233—36 vulg. coniunguntur. — 235. οὐδὲν ἔτι πρέπει ἧμιν] Ahrens. οὐδὲν ἐπιτρέπει ἡμῖν A. οὐδὲν ἐπιπρέπει ἧμιν Bekker. οὐδ' ἔτι γε πρέπει ἡμῖν (ἡμὶν Brunck.) vulg. οὐδέ τι γε πρέπει ἧμιν Cam. οὐδέ τι πρέπει ὑμῖν O. — ἅτ'] cfr. ADD. IV. — σωζομένοισι AO. Cam. σωιζ— A sec. M. — 236. ἀλλ' ὅσα πάγχυ πόλει Κύρνε ἁλωσομένῃ] Herwerden. ἀλλ' ὡς π. π. Κύρνε αλωσομενη A. ἀλύειν κύρν' ὡς πόλλε' ἁλωσομένη K. ἀλύειν — πόλε' — O. λύειν ὡς πόλεως τείχοι ἁλωσομένης Ald., et sic mutato τείχοι in τείχη vulg. αὐλὸς (sive αὐλεῖν) πάγχυ πόλει, Κύρν', ἐν ἁλωσομένῃ Bergk. — 237—254 Bernhardy Theognidi abiudicat, Herm. disposuit in plures particulas: 237—46. 247—52. 253—54. Hartung. a Theognide alienos esse censet v. 237—246 et v. 253—254. — 238. πωτήσει AO. — καὶ] Bergk. κατὰ vulg. — ἀειράμενος] O. —ρόμενος vulg. — 239. θοίνῃς] Bekker. θοίνηις A. θοίνης O et A sec. M. θοίναις vulg. — εἰλαπίναισι Cam. — 240. στόμασι] vulg. — 241. συναυλίσκοισι O. — λιγυφθόγγοισι A. — 242. ἐν κώμοις coni. Brunck. ἐν κόσμῳ Ald. — 243. δνοφερῆς] AO. —ροῖς vulg. — κεύθεσι] ut Brunck. A. κευθμῶσι O. κεύθμασι vulg. — 244. πολὺ κωκυτοὺς K. — 245. οὐδὲ τότ'] Bergk. οὐδέ ποτ' vulg. — ἀλλὰ μελήσεις] A. οὐδέ τε λήσεις O. οὐδέ γε λήσεις vulg. — Leutschio videtur deesse finis huius elegiae.

Deest initium.

Κύρνε, καθ' Ἑλλάδα γῆν στρωφώμενος ἠδ' ἀνὰ νήσους,
  ἰχθυόεντα περῶν πόντον ἔπ' ἀτρύγετον,
οὐχ ἵππων νώτοισιν ἐφήμενος· ἀλλά σε πέμψει
  ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων·
πᾶσι δ', ὅσοισι μέμηλε, καὶ ἐσσομένοισιν ἀοιδή
  ἔσσῃ ὁμῶς, ὄφρ' ἂν γῆ τε καὶ ἠέλιος.
αὐτὰρ ἐγὼν ὀλίγης παρὰ σεῦ οὐ τυγχάνω αἰδοῦς,
  ἀλλ' ὥσπερ μικρὸν παῖδα λόγοις μ' ἀπατᾷς.

Κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν·
  πρᾶγμα δὲ τερπνότατον, τοῦ τις ἐρᾷ, τὸ τυχεῖν.

Ἵππος ἐγὼ καλὴ καὶ ἀεθλίη, ἀλλὰ κάκιστον
  ἄνδρα φέρω, καί μοι τοῦτ' ἀνιηρότατον.
πολλάκι δ' ἠμέλλησα διαρρήξασα χαλινόν
  φεύγεν, ἀπωσαμένη τὸν κακὸν ἡνίοχον.

Οὔ μοι πίνεται οἶνος, ἐπεὶ παρὰ παιδὶ τερείνῃ
  ἄλλος ἀνὴρ κατέχει πολλὸν ἐμοῦ κακίων.
* *
ψυχρόν μοι παρὰ τῆδε φίλοι πίνουσι τοκῆες,
  ὥσθ' ἅμα θ' ὑδρεύει καί με γοῶσα φέρει.

247. στρωφώμενον K. — ἦδ' O*. — ἂν ἀνήσῃ K. — 248. οὐκ ἀνὰ νηυσὶ π. coni. Schmidt. — ἔπ'] Bekker. ἐπ' vulg. — 249. θνατοῖσιν K. — ἀλλ' ἄγε K. ἀλλ' ἄγε O. — 251. πᾶσι δ', ὅσοισι] Hartung. e coni. Lachmanni. π. διὸσ οἷσι A. πᾶσιν οἷσι O. πᾶσι γάρ, οἷσι vulg. — ἀοιδῆι A. — 252. ἂν ᾖ Bergk. — 253. οὐ om. Ald. παρά σευ ἐπιτ— Cam. — 255—56 neque Theognidis neque alius elegiographi esse videntur: fuit hoc distichon antiquitus Deli in Apollinis templo vel in donario aliquo inscriptum, vid. Aristot. Eth. Nic. I, 8, ubi Δηλιακὸν ἐπίγραμμα dicitur. *Bergk.* — 256. πρᾶγμα] hic omnes libri. πρῆγμα Bekker. — τοῦ] AO*. οὗ vulg. — ἐρᾶτο A. Bekker. ἐρᾷ ποτὲ (ποτὲ e ras.) K. In O videbatur mihi ἐρᾶτο vel ἐρᾶτὸ correctum esse in ἐρᾶπο$^{\tau\epsilon}$. ἐρῷτο Bekker. in pr. — 257—260 et 261—66 habet Hartung. pro aenigmatis, *Cleobulo* vel filiae *Cleobulinae* ea tribuens. — 257. ἵππως O*. — ἀληθὴς (θὴς e ras.) K. — 259. δ' ἠμέλλησα] A. δ' ἠμέλησα O. δὴ μέλλησα vulg. — 260. φεύγεν] coni. Bergk. φεύγειν vulg. — ἀπωσαμένη] AO. ὠσαμένη vulg. — 261—62 Welcker. seiunxit a sequentibus, quae aperte sunt truncata et corrupta. Vide ADD. IV. — 264. ὥσθαμα A. ὡσθαμᾶ O. ὡς θαμὰ K. ὡς θαμά Ald.

ἔνθα μέσην περὶ παῖδα βαλὼν ἀγκῶν' ἐφίλησα
  δειρήν, ἡ δὲ τέρεν φθέγγετ' ἀπὸ στόματος.

Γνωτή τοι πενίη γε καὶ ἀλλοτρίη περ ἐοῦσα·
  οὔτε γὰρ εἰς ἀγορὴν ἔρχεται οὔτε δίκας·
πάντῃ γὰρ τοὔλασσον ἔχει, πάντῃ δ' ἐπίμυκτος,
  πάντῃ δ' ἐχθρὴ ὁμῶς γίνεται, ἔνθά περ ᾖ.

Ἴσως τοι τὰ μὲν ἄλλα θεοὶ θνητοῖς ἀνθρώποις
  γῆράς τ' οὐλόμενον καὶ νεότητ' ἔδοσαν.
τῶν πάντων δὲ κάκιστον ἐν ἀνθρώποις, θανάτου τε
  καὶ πασέων νούσων ἐστὶ πονηρότερον,
παῖδας ἐπεὶ θρέψαιο καὶ ἄρμενα πάντα παράσχοις,
  χρήματα δ' εἰ καταθῇς πόλλ' ἀνιηρὰ παθών,
τὸν πατέρ' ἐχθαίρουσι, καταρῶνται δ' ἀπολέσθαι,
  καὶ στυγέουσ' ὥσπερ πτωχὸν ἐπερχόμενον.

Εἰκός τοι κακὸν ἄνδρα κακῶς τὰ δίκαια νομίζειν,
  μηδεμίαν κατόπισθ' ἀζόμενον νέμεσιν·
δειλῷ γάρ τ' ἀπάλαμνα βροτῷ πάρα πόλλ' ἀνελέσθαι
  πὰρ ποδός, ἡγεῖσθαί θ' ὡς καλὰ πάντα τιθεῖ.

Ἀστῶν μηδενὶ πιστὸς ἐὼν πόδα τῶνδε πρόβαινε,
  μήθ' ὅρκῳ πίσυνος μήτε φιλημοσύνῃ.

265. περὶ] A. παρὰ vulg. — βαλὼν] Herm. λαβὼν vulg. — φθέγκετ' O*. — 267. γνῶτ' εἴ π. A. — γε] Bekker. τε A. om. vulg. — ἀλλοτρία O. Locus corruptus. Vulgo explicant: Quid sit paupertas, facile cognoscas, licet non ipse sis pauper. Hartung: Ἄγνωτος π. τε καὶ ἀλλοτρίη περίεισιν, male collocato v. πενίη. — 268. οὔτε ποτ' idem. — 269. πάντῃ ter A. — ἐπίμυκτος] A. ἐπίμικτος vulg. ἐπίμικτον O. — 270. ἐχθρὴ] A. ἐχθρὰ vulg. — γίνεται] O. Cam. γίγν— vulg. — ἔνθά] AO*. — 274. πονηρότερον] Hartung. —ρότατον vulg. — 275. επιθρεψαιο A. — ἄρμενα K. Cam. ἁρμενα O. — 276. εἰ καταθῇς] coni. Bergk. ει καταθηισ A sec. M. ἐγκαταθῇς vulg. χρῆμά τε κατθείης coni. Sitzler., παρασχών | χρήματα κατθείης Hartung. — 278. ἐσερχόμενον A. Bekker. — 279. εἰκός τοι] coni. Bergk. εἰκὸς τὸν vulg. εἰκοστον corr. εἰκοστοι A. — 280. κατόπισθ'] A. κατόπιν vulg. — 281. βροταὶ A. — 282. τιθει A. τίθει Bergk. — 283. τῶνδε] Herm. τόνδε vulg. — προβαίνει K.

μηδ' εἰ Ζῆν' ἐθέλῃ παρέχειν βασιλῆα μέγιστον
  ἔγγυον ἀθανάτων, πιστὰ τιθεῖν ἐθέλων.

Ἐν γάρ τοι πόλει ὧδε κακοψόγῳ ἁνδάνει οὐδέν·
  ὡς δὲ τὸ σῶσαι οἱ πολλοὶ ἀνολβότεροι.

Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ γίνεται ἐσθλὰ κακοῖσιν
  ἀνδρῶν· ἡγέονται δ' ἐκτραπέλοισι νόμοις·
αἰδὼς μὲν γὰρ ὄλωλεν, ἀναιδείη δὲ καὶ ὕβρις
  νικήσασα δίκην γῆν κατὰ πᾶσαν ἔχει.

Οὐδὲ λέων αἰεὶ κρέα δαίνυται, ἀλλά μιν ἔμπης
  καὶ κρατερόν περ ἐόνθ' αἱρεῖ ἀμηχανίη.

Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος,
  φθεγγόμενος δ' ἀαδὴς οἷσι παρῇ πέλεται,
ἐχθαίρουσι δὲ πάντες, ἀναγκαίη δ' ἐπίμιξις
  ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.

Οὐδεὶς λῇ φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται,
  οὐδ' ᾧ κ' ἐκ γαστρὸς Κύρνε μιῆς γεγόνῃ.

Πικρὸς καὶ γλυκὺς ἴσθι καὶ ἁρπαλέος καὶ ἀπηνής
  λάτρισι καὶ δμωσὶν γείτοσί τ' ἀγχιθύροις.

285. ἐθέλῃ] Bekker. ἐθέλῃι A. ἐθέλη sec. M. ἐθέλει vulg. — 286. ἔγγιον K. — ἔθελε Hartung. — 287. τῇ pro τοι Cam. — κακούργω K. — 288. Reliqui vulgatam quamvis corruptam. ἐς δὲ τὸ σῶσ' αἰεὶ Boissonad. et Herwerden. — σῶσαι τοὶ Hartung. — σώζεσθαι Schmidt. Alia suppeditat Bergk. ὡσδετοσωσαιεὶ A sec. Bekker., ωσ—αιει sec. H., ωσ—αι εἰ sec. M. Ad hanc scripturam proxime accedit coniectura Boissonadii et Herwerdeni; sed offensui est elisa diphthongus. In ἐς τὸ σῶσαι ἀεί, quod Boissonadio Bergk. tribuit, offenderet ἀεί, qua forma Th. alibi non usus est. — ἀναιβότεροι K et cum parva lacuna inter ι et β O. — 289. γίνεται] O. Cam. γίγν— vulg. — 290. ἀνδρῶν· ἡγέονται] Bekker. ἀνδρῶηγεονται A. ἀνδρῶν, γίνονται (ut O. Ald. Cam.) aut γίγν— vulg. — νόμοις] A. νόμοι K. νόμος vulg. — 292. ἔλει O. — 293. δαίννυται O. Ald. — μὴν K. μ^ O. — 294. ἐόντ' αἵρει A. ἐόντ' ἀγρεῖ Bergk. — 296. ἀαδής] conii. Hoeschel. et Brunck. ἀδαής vulg. — πέλεται] Cam. μέλεται vulg. — 297. πάντας A. — 299. οὐδεὶς λῇ] Bergk. et Saupp. οὐδεὶς δὴ A. οὐδὲ θέλει O. οὐδ' ἐθέλει K. vulg. — κακῷ K. — 300. ᾧ κ'] Bergk. ωκ A. Bekkero videtur inde effici sonus ingratus. ἣν vulg. — μιῆς] Bergk. μιᾶς vulg. — γεγόνῃ] Turneb. γεγόνη A. γεγόνει vulg. — 301. ἁρπαλέος] A. ἀργαλέος vulg. — Cfr. 1353. — 302. λάτροις K. λάτροισι O. Ald. — δμωσὶ O.

Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον, ἀλλ' ἀτρεμίζειν,
τὸν δὲ κακὸν κινεῖν, ἔστ' ἂν ἐς ὀρθὰ βάλῃς.

Τοὶ κακοὶ οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν,
ἀλλ' ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην
ἔργά τε δείλ' ἔμαθον καὶ ἔπη δύσφημα καὶ ὕβριν,
ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.

Ἐν μὲν συσσίτοισιν ἀνὴρ πεπνυμένος εἶναι,
γινώσκων ὀργὴν ἥντιν' ἕκαστος ἔχει.
εἰς δὲ φέροι τὰ γελοῖα, θύρηφι δὲ καρτερὸς εἴη,
πάντα δέ μιν λήθειν ὡς ἀπεόντα δοκοῖ.

Ἐν μὲν μαινομένοις μάλα μαίνομαι, ἐν δὲ δικαίοις
πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.

Πολλοί τοι πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾷ δ' ἔν τε κακοῖς κείμενος ἔν τ' ἀγαθοῖς.
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσῃ,
ἀφραίνων κακίην οὐ δύναται κατέχειν.

303. κιγχλίζειν O. Cam. — 304. ἔστ' K. — βάλῃς] Crispin. Sylb. λάβῃς vulg. — 305. τοὶ] A. οἱ vulg. — πάντες A. — 307. δεῖλ' AO. Cam. — δῦσφημα O*. — 309. εἶναι] A. ἴσθι vulg. — 310—12. Transpositionem versuum proposuit Bergk. Vulg. πάντα — εἰς δὲ — γιγνώσκων. — 310. γινώσκων] O. γίγν— vulg. — 311. φέροι] A. φέρει O. φέρειν vulg. K lac. φέροιτο Hartung. e coni. Ahrens. — θύρηφι omisso δὲ A. — κρατερὸν O. — εἴη] AO. εἴης vulg. — 312. δ' ὁμιλήτην (sic) Cam. — δοκοῖ] Geel. δοκεῖ Bekker. δοκει A. δόκει vulg. — 313. δικαίου K. — 315—318 *Solonis* sunt, vid. Eleg. fr. 15, ubi π. γὰρ πλουτεῦσι — αὐτοῖς — ἔμπεδόν ἐστι. — 318. ἄλλοτέ τ' A. (Sec. M. om. A 318. 319). — 320. Hic vs. legitur in O* bis, et hic et post 317. — ἐν τ' ἀγαθοῖς κείμενος ἐν τε κακοῖς Ald. probantibus Bergk. et Hartung. Vide ADD. IV. — 321. ὀπάσσῃ] A. —σσει vulg.

Μή ποτ' ἐπὶ σμικρῇ προφάσει φίλον ἄνδρ' ἀπολέσσαι,
 πειθόμενος χαλεπῇ Κύρνε διαιβολίῃ.
εἴ τις ἁμαρτωλοῖσι φίλων ἐπὶ παντὶ χολῷτο,
 οὔ ποτ' ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι
εἶεν. ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἕπονται
 θνητοῖς, Κύρνε· θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.

Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα διώκων,
 Κύρνε, σὺν ἰθείῃ θεῶν δίκῃ ἀθανάτων.

Ἥσυχος, ὥσπερ ἐγώ, μέσσην ὁδὸν ἔρχεο ποσσί,
 μηδ' ἑτέροισι διδοὺς Κύρνε τὰ τῶν ἑτέρων.

Μή ποτε φεύγοντ' ἄνδρα ἐπ' ἐλπίδι Κύρνε φιλήσῃς·
 οὐδὲ γὰρ οἴκαδε βὰς γίνεται αὐτὸς ἔτι.

Μηδὲν ἄγαν σπεύδειν. πάντων μέσ' ἄριστα. καὶ οὕτως
 Κύρν' ἕξεις ἀρετήν, ἥντε λαβεῖν χαλεπόν.

Ζεύς μοι τῶν τε φίλων δοίη τίσιν, οἵ με φιλεῦσι,
 τῶν τ' ἐχθρῶν μεῖζον Κύρνε δυνησομένῳ.
χοὔτως ἂν δοκέοιμι μετ' ἀνθρώπων θεὸς εἶναι,
 εἴ μ' ἀποτισάμενον μοῖρα κίχοι θανάτου.

323. σμικρῇ] Bekker. in pr. σμικρᾷ vulg. ἐπισμικρὰ O*. — ἀπολέσσαι] A. Libri editi aut ἀπολέσσῃς ut O aut ἀπολέσῃς (Ald.) aut ἀπολέσσῃ. ἀπολῦσαι Hartung. ἀποθέσθαι conii. Bergk. et Hecker. Librorum scriptura recte se habet, modo ne vertas perdere, sed amittere. — 324. διαιβολίῃ] Bergk. διαβ— vulg. — 325. ἁμαρτωλοῖσι] O. —λῇσι vulg. — 326. ἀρίθμιοι O. — 327. ἐπ' coni. Bergk. ἅμ' Emper. — πέλονται Ruhnken. Scribendum videtur ἐπ' ἀνθρώποισι πέλονται. Cfr. Odyss. XIII, 60. — 328. οὖν pro οὐκ coni. Bergk. Vide ADD. IV. — 329. εὐβούλως Cam. εὔβουλος δ' Herm. ὢν εὔβουλος Jacobs. ὢν δ' εὔβ— Hartung. — εἷλε O. ἕλεν Jacobs. Hartung. et e corr. Vat. 63 (N). — 330. ἰθείῃ] ἰθ e ras. K. εὐθείῃ vulg. — 331. ποσσί] O. vulg. — 332. ἑτέροις O. μηδετέροισι Hartung. —δίδου Stob. — 333. ἀνέρ' coni. Herm. ἄνδρ' ἐπὶ Bergk. — ἐπελπίδι O*. — 334. οὐ K. — γίνεται] O. γίγν— vulg. — αὐτὸς coni. Bergk. ὡὐτὸς Brunck. — 337. δώῃ O. — φιλεῦσι] O. vulg. — 338. κύρνε μεῖζον (prius e ras.) K. — δυνησομένῳ] Schaefer. Alii alia, cfr. Bergk. δυνησόμενον vulg. — 339. χ' οὕτως AO. — μεν pro μετ' K. — ἀνθρώποις Brunck. — 340. εἴ μ'] A. εἰ μὴ O. ἣν vulg. — κίχοι] Cam. κίχῃ vulg.

Ἀλλὰ Ζεῦ τέλεσόν μοι Ὀλύμπιε καίριον εὐχήν,
  δὸς δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν.
τεθναίην δ᾽, εἰ μή τι κακῶν ἄμπαυμα μεριμνέων
  εὑροίμην, δοίην δ᾽ ἀντ᾽ ἀνιῶν ἀνίας·
αἶσα γὰρ οὕτως ἐστί. τίσις δ᾽ οὐ φαίνεται ἡμῖν
  ἀνδρῶν, οἳ τἀμὰ χρήματ᾽ ἔχουσι βίῃ
συλήσαντες. ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην,
  χειμάρρῳ ποταμῷ πάντ᾽ ἀποσεισάμενος.
τῶν εἴη μέλαν αἷμα πιεῖν, ἐπί τ᾽ ἐσθλὸς ὄροιτο
  δαίμων, ὃς κατ᾽ ἐμὸν νοῦν τελέσειε τάδε.

Ἆ δειλὴ πενίη, τί μενεῖς; προλιποῦσα παρ᾽ ἄλλον
  ἄνδρ᾽ ἰέναι. μὴ δή μ᾽ οὐκ ἐθέλοντα φίλει,
ἀλλ᾽ ἴθι καὶ δόμον ἄλλον ἐποίχεο, μηδὲ μεθ᾽ ἡμέων
  αἰεὶ δυστήνου τοῦδε βίου μέτεχε.

Τόλμα Κύρνε κακοῖσιν, ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες,
  εὖτέ σε καὶ τούτων μοῖρ᾽ ἐπέβαλλεν ἔχειν.
ὥς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακόν, ὣς δὲ καὶ αὖθις
  ἐκδῦναι πειρῶ θεοῖσιν ἐπευχόμενος.
μηδὲ λίην ἐπίφαινε· κακὸν δέ τι Κύρν᾽ ἐπιφαίνων
  παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.

341. ζεὺς O. Ald. — 343. μεριμνέων] A. —νάων O. —νῶν vulg. — 344. δοίην δ᾽] A. δοίην τ᾽ O. Cam. δοίη τ᾽ Ald. δοίης τ᾽ Turneb. — 346. οἵ τ᾽ ἅμα A. — 347. Canem videtur poeta petiisse e fabula nobis ignota. κακῶν Ahrens. — χαραδρῆν A. — 348. χειμαρόῳ G. Dindorf. in Steph. Thes. s. v. — Post hunc v. statuit Leutsch. unius distichi lacunam. —

349. ἔπι O*. — ὄροιτο] A. ὄροιτο O. ἄροιτο K. vulg. — 350. πᾶν τ. νόον Leutsch. — 351. 52. ἆ O*. ὦ Ald. Cfr. 649. — τί μενεῖς; προλ— ἰέναι.] Geel. μένει A. τί μένεις προλ— ἰέναι; vulg. τί μένεις (in notis μενεῖς); προλ— ἰέναι; Cam. τί μ᾽ ὀκνεῖς προλ— ἰέναι; Hartung. et Meinek. — μὴ δή μ᾽] Bekker. μ᾽ ην δὴν A. τί δή μ᾽ O. τί δὲ δή μ᾽ vulg. μὴ λὴν Bergk. — φίλει] Bekker. φιλεῖ acc. rec. add. A. φιλεῖς vulg. — 353. ἡμέων] A. ἡμῶν vulg. — 355. κἐσθλοῖσιν K. κ᾽ ἐσθ— AO. — 356. οὖτε A. — 357. αὖθις] A. Cam. αὖτις O. vulg. αὖ K. — 358. θεοῖσ A. — 359. λίαν O. — δέ τε A. — ἐπιφαίνων] Brunck. ἐπιφαίνειν sequente virgula vel puncto vulg. Hartung., qui hoc distichon (ut iam Cam.) addidit prioribus: — ἐπίφαινε κακόν· τί δὲ — ἐπιφαίνοις; — 360. Cfr. 645.

Ἀνδρός τοι κραδίη μινύθει μέγα πῆμα παθόντος,
  Κύρν᾽· ἀποτινυμένου δ᾽ αὔξεται ἐξοπίσω.

Εὖ κώτιλλε τὸν ἐχθρόν· ὅταν δ᾽ ὑποχείριος ἔλθῃ,
  τῖσαί μιν πρόφασιν μηδεμίαν θέμενος.

Ἴσχε νόῳ, γλώσσης δὲ τὸ μείλιχον αἰὲν ἐπέστω·
  δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

Ἀστῶν δ᾽ οὐ δύναμαι γνῶναι νόον, ὅντιν᾽ ἔχουσιν·
  οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω οὔτε κακῶς.

Μωμεῦνται δέ με πολλοί, ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί·
  μιμεῖσθαι δ᾽ οὐδεὶς τῶν ἀσόφων δύναται.

Μή μ᾽ ἀέκοντα βίῃ κεντῶν ὑπ᾽ ἄμαξαν ἔλαυνε,
  εἰς φιλότητα λίην Κύρνε προσελκόμενος.

Ζεῦ φίλε, θαυμάζω σε· σὺ γὰρ πάντεσσιν ἀνάσσεις,
  τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν·
ἀνθρώπων δ᾽ εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου·
  σὸν δὲ κράτος πάντων ἔσθ᾽ ὕπατον, βασιλεῦ.
πῶς δή σευ Κρονίδη τολμᾷ νόος ἄνδρας ἀλιτρούς
  ἐν ταὐτῇ μοίρῃ τόν τε δίκαιον ἔχειν;
ἤν τ᾽ ἐπὶ σωφροσύνην τρεφθῇ νόος, ἤν τε πρὸς ὕβριν
  ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων,

362. ἀποτινυμένου] ut Brunck. A. ἀποτιννυ— vulg. — 363. δ᾽ om. A. — 364. μιν] νιν vulg. τίσαίνειν K. τίσαί'' O. — μηδεμίην O. — 365. ἴσχε νόῳ] cohibe te ratione. ἴσχι νόωι A. ἴσχε νόον vulg. Propter ἴσχε pro ἴσχεο cfr. Aesch. Choeph. 1052. — γλώσσης] A. γλώσσῃ vulg. — μειλίχιον O. — ἐπέστω] A. Bekker. ἐπέσθω vulg. — 366. Cfr. 1030. — κραδίη AO*. ὀξυτέρη κραδίη Brunck. — 367. Vulg. οὐ δ. γνῶναι νόον ἀστῶν. Brunck. primus recepit alteram scripturam (v. ADD. I), quae vel ob vocabulum spondiacum in quarto pede collocatum illi erat praeferenda. — 368. ἔρδων K. Ald. ἔργον O. ερδων ἀνδρανω A. — 369–370 separavit Bekker. — 370. ἀσοφῶν A. ασόφων O. σοφῶν K. — 371. ἅμαξαν O*. ὑφ᾽ ἅμ— Cam. — 372. ἐς K. — λίαν Cam. — 377. δή σεῦ O*. Brunck. δὲ σεῦ Ald. δέ σεο Cam. δὴ Ζεῦ Wassenberg. δή σοι malit Bekker. — 378. ταύτηι — τὸν δε A. — 379. τε πρὸς pro τ᾽ ἐπὶ KO (hic πρόσσω φροσύνην). τε πρὸς ἀφροσύνην Sitzler. — τρεφθῇ] Cam. τερφθῇ codd. Ald. — 380. ἔργασι O. — Vulg. comma post ἔχειν, signum interrogationis post πειθομένων.

[Οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν,
  οὐδ' ὁδὸς ἥν τις ἰὼν ἀθανάτοισιν ἅδοι.]

ἔμπης ὄλβον ἔχουσιν ἀπήμονα· τοὶ δ' ἀπὸ δειλῶν
  ἔργων ἴσχοντες θυμὸν ὅμως πενίην
μητέρ' ἀμηχανίης ἔλαβον, τὰ δίκαια φιλεῦντες,
  ἥτ' ἀνδρῶν παράγει θυμὸν ἐς ἀμπλακίην,
βλάπτουσ' ἐν στήθεσσι φρένας κρατερῆς ὑπ' ἀνάγκης·
  τολμᾷ δ' οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν,
χρημοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει,
  ψεύδεά τ' ἐξαπάτας τ' οὐλομένας τ' ἔριδας.
[ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δέ οἱ οὐδὲν ἔοικεν·
  ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.]

Ἐν πενίῃ δ' ὅ τε δειλὸς ἀνὴρ ὅ τε πολλὸν ἀμείνων
  φαίνεται, εὖτ' ἂν δὴ χρημοσύνη κατέχῃ.
τοῦ μὲν γὰρ τὰ δίκαια φρονεῖ νόος, οὔτέ περ αἰεί
  ἰθεῖα γνώμη στήθεσιν ἐμπεφύῃ·
τοῦ δ' αὖτ' οὔτε κακοῖς ἕπεται νόος οὔτ' ἀγαθοῖσι.
  τὸν δ' ἀγαθὸν τολμᾶν χρὴ τά τε καὶ τὰ φέρειν.

Αἰδεῖσθαι δὲ φίλους, φεύγειν τ' ὀλεσήνορας ὅρκους
  ἐντρέπευ, ἀθανάτων μῆνιν ἀλευάμενος.

381. 82. Hos versus separavit Bekker. et a praecedentibus et a subsequentibus, Hartung. posuit eos Hermannum secutus post 378 cum signis interrogationis post ἔχειν et ἅδοι, Emperius uncinis inclusit. — 381. δαίμονος ἐστὶ O. ὅστις pro ἐστι A. — 382. ὁδὸν A. ος e ras. K. — ἥν τις] Brunck. ἥντιν' vulg. — 383. Vulg. hic nova incipit sententia ab Ἔμπης δ' —. Hartung. πειθομένων, ἔμπης ὄλβον. — 384. ἴσχοντες] A. ἴσχονται vulg. ἴσχοντα K. — ὁμῶς O* et quaedam editt. — πενίην] ut Brunck. coni. A. πενίης vulg. K lac. O ev. — 385. 86. ἀμηχανίης] AO. Brunck. ἀμηχανίην vulg. Camer. in notis: ἐν ἐνίοις πενίην — ἀμηχανίης. — φιλεύντων ἥτ' — Ahrens. et Hartung. — ἀνδρὸς propter τολμᾷ Mey. Confunduntur ἀνδρὸς et ἀνδρῶν 749. 987. At cfr. 865 ἀχρήστοισι — αὐτῷ. — παράγει] ut Meinek. coni. A. προάγει vulg. — 387—392 Hartung. a prioribus separavit. — 388. αἴσχιον K. αἴσχ^ε (tum ev.) O. — Cfr. 651. — 391—392 damnavit Ahrens. Post 385 et 88. continerent tautologiam intolerabilem. — 392. ἡ O*. Cam. — τίκτε K. — 395. τὰ δίκαια φρονεῖ] A. τ' ἄδικα (τἄδικα O.) φρονέει vulg. — οὔτε AO. vulg. ante Bekker. οὔτέ Crisp. — 396. ἰθείη O. Cam. — ἐμπεφύιη A. sec. Bekker. —υίηι sec. M. ἐμπεφύκει K. — 397. αὖτ'] A. αὖ vulg. — ἀγαθοῖσι] AO. vulg. — 400. ἐντρέπευ] Bergk. ἐντρέπου (vel ἐντρέπε') Brunck. ἔντρεπε (O εὔτρεπε?)

Μηδὲν ἄγαν σπεύδειν· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος
ἔργμασιν ἀνθρώπων. πολλάκι δ' εἰς ἀρετήν
σπεύδει ἀνὴρ κέρδος διζήμενος, ὅντινα δαίμων
πρόφρων εἰς μεγάλην ἀμπλακίην παράγει,
καί οἱ ἔθηκε δοκεῖν, ἃ μὲν ᾖ κακά, ταῦτ' ἀγάθ' εἶναι
εὐμαρέως, ἃ δ' ἂν ᾖ χρήσιμα, ταῦτα κακά.

Φίλτατος ὢν ἥμαρτες. ἐγὼ δέ τοι αἴτιος οὐδέν,
ἀλλ' αὐτὸς γνώμης οὐκ ἀγαθῆς ἔτυχες.

Οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω
αἰδοῦς, ἥτ' ἀγαθοῖς ἀνδράσι Κύρν' ἕπεται.

Οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος,
ᾧ γνώμη θ' ἕπεται Κύρνε καὶ ᾧ δύναμις.

Πίνων δ' οὐχ οὕτως θωρήξομαι, οὐδέ με οἶνος
ἐξάγει, ὥστ' εἰπεῖν δεινὸν ἔπος περὶ σοῦ.

Οὐδέν' ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν
πιστὸν ἑταῖρον, ὅτῳ μή τις ἔνεστι δόλος·
ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι ὥστε μολίβδῳ
χρυσός, ὑπερτερίης δ' ἄμμιν ἔνεστι λόγος.

Πολλά με καὶ συνιέντα παρέρχεται· ἀλλ' ὑπ' ἀνάγκης
σιγῶ, γινώσκων ὑμετέρην δύναμιν.

Πολλοῖς ἀνθρώπων γλώσσῃ θύραι οὐκ ἐπίκεινται
ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα μέλει·

δ' vulg. ἐντράπελ' A, unde Bekker. Εὐτράπελ'. — ἀλευάμενον A. — 404. ἐς Bekker. — 407. σοι A. Bekker. — 409. Cfr. 1161. παισὶν καταθήσῃ vulg. παισὶ καταθήσει AO. καταθήσεις παισὶν Brunck. — 411. οὐδενὸς — δοκεῖ] A. μηδενὸς — δόκει vulg. — κακίας Vinet. — 413. οὕτως] AO.

vulg. οὕτω A sec. M. — μετ' οἶνος A. μεγ' — K. μ^ε^γ' O. — 414. ἐξαρεῖ Hartung. e coni. Ahrens. et Emper. — 415. ὅμοιον K. οὐδὲν ὅμοιον A sec. M. — 417. Cfr. 1105. — 418. λόγος] A. νόος vulg. — 419. Cfr. 669. — 420. γινώσκων] O. Cam. γιγν— vulg. — ὑμετέρην] Herm. ἡμε— vulg. — 421. ἀνθρώπων] AO. ἀνθρώποις vulg.

πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον,
ἐσθλὸν δ' ἐξελθὸν λώιον ἢ τὸ κακόν.

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου,
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀίδαο περῆσαι
καὶ κεῖσθαι πολλὴν γῆν ἐπιεσσάμενον.

Φῦσαι καὶ θρέψαι ῥᾷον βροτόν, ἢ φρένας ἐσθλὰς
ἐνθέμεν· οὐδείς πω τοῦτό γ' ἐπεφράσατο,
ᾧ τις σώφρον' ἔθηκε τὸν ἄφρονα κἀκ κακοῦ ἐσθλόν.
εἰ δ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεός,
ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν,
πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον.

Εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα,
οὔ ποτ' ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακός,
πειθόμενος μύθοισι σαόφροσιν. ἀλλὰ διδάσκων
οὔ ποτε ποιήσεις τὸν κακὸν ἄνδρ' ἀγαθόν.

Νήπιος, ὃς τὸν ἐμὸν μὲν ἔχει νόον ἐν φυλακῇσι,
τῶν δ' αὐτοῦ ἰδίων οὐδὲν ἐπιστρέφεται.

424. ἐξελθὼν AO*. — ἢ κρύφιον coni. Hartung. — 425. ἀρχὴν Stob. aliique. Heimsoethio videtur πάντων e glossa πάντως ortum esse. — 426. αὐγὰν K., ν e corr., ut videtur, O. — 428. ἐπιεσσάμενον] Hartung. ἐπαμησάμενον vulg. Brunck. γαῖαν ἐφεσσάμενον ut Sext. Emp. Hypot. III, p. 175. — 429. φαῦσαι A. — ουδεισ τοῦτό γε πεφρ— A. — 431. ᾧ τις] Bergk. ὁτις A. ὅστις vulg. ᾧτινι Hartung. — κἀκ κακοῦ] O. κ'ακοῦ A. καὶ κακοῦ Ald. καὶ κακὸν vulg. — 432. οὐδ' O. — τοῦτο sine γ' editt. ante Brunck. — 433. ἀτειρὰς AO. — 434. Post hunc v. statuit Leutsch. lacunam. — 435—38, quae Bekker. separavit a praecedentibus, ad eandem elegiam, quamquam graviter immutata, pertinere, colligit Bergk. e Platonis Menone p. 95 E et Aristot. Eth. Nic. X, 9. Initio scriptum fuisse: οὐδ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεός | ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν . . . εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα, | πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον . . . κοὔποτ' ἂν ἐξ ἀγαθοῦ κτλ. — 438. ποιήσει A. — 439. φυλακῇσι] AO. vulg. — 440. τῶν] A. τὸν vulg. — αὐτοῦ Cam. — ἰδίων] Jacobs. ἴδιον vulg. κἴδιον A. κἴδιον O. τῶν αὐτοῦ δ' ἰδίων Herm. Cfr. Renner. p. 145. 150.

Οὐδεὶς γὰρ πάντ' ἐστὶ πανόλβιος. ἀλλ' ὁ μὲν ἐσθλός
  τολμᾷ ἔχων τὸ κακόν, κοὐκ ἐπίδηλος ὅμως·
δειλὸς δ' οὔτ' ἀγαθοῖσιν ἐπίσταται οὔτε κακοῖσι
  θυμὸν ὁμῶς μίσγειν. ἀθανάτων δὲ δόσεις
παντοῖαι θνητοῖσιν ἐπέρχοντ'. ἀλλ' ἐπιτολμᾶν
  χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν ἔχειν.

Εἴ μ' ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης
  αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης·
εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον
  χρυσόν, ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ,
τοῦ χροιῆς καθύπερθε μέλας οὐχ ἅπτεται ἰός
  οὐδ' εὐρώς, αἰεὶ δ' ἄνθος ἔχει καθαρόν.

Ὤνθρωπ', εἰ γνώμης ἔλαχες μέρος ὥσπερ ἀνοίης
  καὶ σώφρων οὕτως ὥσπερ ἄφρων ἐγένου,
πολλοῖς ἂν ζηλωτὸς ἐφαίνεο τῶνδε πολιτῶν
  οὕτως ὥσπερ νῦν οὐδενὸς ἄξιος εἶ.

Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι·
  οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος,
οὐδ' ἄγκυραι ἔχουσιν· ἀπορρήξασα δὲ δεσμά
  πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

Μή ποτ' ἐπ' ἀπρήκτοισι νόον ἔχε, μηδὲ μενοίνα,
  χρήμασι, τῶν ἄνυσις γίνεται οὐδεμία.

441. γὰρ] A. τοι vulg. om. O. — ἐστὶν ἀνόλβιος Bergk. — 442. ἔχων] A. Brunck. ἔχειν vulg. — ὁμῶς A. Crisp. Cfr. 359. — 443. Ita A., nisi quod κακοῖσιν. οὔτε κακοῖσιν — οὔτ' ἀγαθοῖσι (—σιν O*.) vulg. — 444. ὁμῶς μίσγειν] infra 1162 omnes libri, hic ἔχων μίμνειν. ὁμὸν μίσγειν Hartung. — τε A. — 445. ἐπέρχονται — ἐπιτιμᾶν K. — 446. Virgulam post διδοῦσιν delevi. δίδωσιν ἔχειν Cam. Cfr. 591. — 447. εἴ μ^ε θέλεις O*. — 449. δ' ἐμε A. δ' ἐμὲ Brunck. — ἀπεφθὸν K. ἀπεφθ" O. — 451. ἰὸν K., ν fort. e corr. O. — 453. ὤνθρωπ'] A. ἄνθρωπ' vulg. K lac. O ev. — 456. οὐδ' ἑνὸς O*. — εἷς Renner. — 457. σύμφρον ἔνεστι A. σύμφρον ἐστί Ald. lac. K. ev. O. — 461. 62. νόον γ' Cam. — Virgulam post μενοίνα posuit Bergk., sed offensus hac verborum traiectione coni. μήτε μενοινήν — vel μηδὲ μενοίνα χρήματα. — γίνεται] O. Cam. γίγν— vulg. — οὐδὲ μία O*.

Εὐμαρέως τοι χρῆμα θεοὶ δόσαν οὔτέ τι δειλόν
  οὔτ' ἀγαθόν· χαλεπῷ δ' ἔργματι κῦδος ἔπι.

Ἀμφ' ἀρετῇ τρίβου, καί τοι τὰ δίκαια φίλ' ἔστω,
  μηδέ σε νικάτω κέρδος, ὅ τ' αἰσχρὸν ἔῃ.

Μηδένα τῶνδ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν,
  μηδὲ θύραζε κέλευ' οὐκ ἐθέλοντ' ἰέναι.
μήθ' εὕδοντ' ἐπέγειρε Σιμωνίδη ὅντιν' ἂν ἡμέων
  θωρηχθέντ' οἴνῳ μαλθακὸς ὕπνος ἕλῃ,
μήτε τὸν ἀγρυπνέοντα κέλευ' ἀέκοντα καθεύδειν·
  πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.
τῷ πίνειν δ' ἐθέλοντι παρασταδὸν οἰνοχοείτω·
  οὐ πάσας νύκτας γίνεται ἁβρὰ παθεῖν.
αὐτὰρ ἐγώ — μέτρον γὰρ ἔχω μελιηδέος οἴνου —
  ὕπνου λυσικάκου μνήσομαι οἴκαδ' ἰών,
ἥξω δ' ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι·
  οὔτέ τι γὰρ νήφω οὔτε λίην μεθύω.
ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτι κεῖνος
  τῆς αὐτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου,

463. οὔτέ] K. — τοι pro τι O. — δειλόν videtur corruptum. δεινόν Hartung. οὔτ' ἐπίδηλον Hecker. — 464. ἔπι] Brunck. ἔπει corr. ἔπι A. ἔχει vulg. — 465. τοι] A. σοι vulg. — 466. ὅ τ'] Hermann. ὅτ' vulg. — ἔῃ] Bekker. ἔηι A. ἔθει O. ἔοι vulg. — 467–496, qui in Vat. 63 leguntur coniuncti, Bergkio videntur integra elegia, quamquam fortasse hic quoque nonnulla sint in arctum redacta. Cam., quocum facit Hartung., diremit 467—474. 475—492. 493—496, Bekker. 467—468. 469—492. 493—496, Welcker. 467—474. 475—476. 477—492. 493—496, Leutsch. 467—474. 475—488. 489—492. 493—496, alii copularunt 467—492. 493—496. Bergk. assignat totum carmen *Eueno Pario maiori*. Hartung. ascribit *Eueno* 467—474, Leutsch. tribuit 467—474 *Theognidi*, reliqua *Panyasidi*. Idem statuit lacunas ante 475 et 489. — 467. 68. μηδ' ἕνα A. Tum μήτ' — μήτε Schneidewin. et Hartung. cum Athen. VIII, 364 C, qui etiam in reliquis multam exhibet lectionis varietatem. — 469. μήθ'] Bekker. μηθ' A sec. B. μηδ' sec. M. vulg. μὴδ' O*. μήδ' Ald. — ὅντιν' ἂν] A. ὅντινα vulg. — ἡμέων] ἡμῶν vulg. — 470. μαλακὸς K. — ἕλῃ] Bekker. ἕληι A. ἕλοι vulg. — 471. μήτε] Bekker. μηδε A. μὴ δὲ ut O aut μηδὲ
γε
vulg. — 474. γίνεται] O. γίγν— vulg. — 475. μέτρον ἔχω K. μέτρον ἔχω O. — 476. λύσιν κακοῦ K. — 477. ἥξω] AO. δείξω vulg. — 478. οὔτέ] O. οὔτέ K. — τοι O. Ald. — ἔξω δ', — πεπόσθαι, οὔτε τι νήφων εἶμ' οὔτε λίην μεθύων coni. Bergk. (ἥκω — εἶμ' — λίαν Athen.) — 480. αὐτοῦ Cam.

μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίνεται αἰσχρά·
  αἰδεῖται δ' ἔρδων οὐδέν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος. ἀλλὰ σὺ ταῦτα
  γινώσκων μὴ πῖν' οἶνον ὑπερβολάδην,
ἀλλ' ἢ πρὶν μεθύειν ὑπανίστασο — μή σε βιάσθω
  γαστὴρ ὥστε κακὸν λάτριν ἐφημέριον —
ἢ παρεὼν μὴ πῖνε. σὺ δ' ἔγχεε τοῦτο μάταιον
  κωτίλλεις αἰεί· τοὔνεκά τοι μεθύεις·
ἡ μὲν γὰρ φέρεται φιλοτήσιος, ἡ δὲ πρόκειται,
  τὴν δὲ θεοῖς σπένδεις, τὴν δ' ἐπὶ χειρὸς ἔχεις.
ἀρνεῖσθαι δ' οὐκ οἶδας. ἀνίκητος δέ τοι οὗτος,
  ὃς πολλὰς πίνων μή τι μάταιον ἐρεῖ.
ὑμεῖς δ' εὖ μυθεῖσθε παρὰ κρητῆρι μένοντες,
  ἀλλήλων ἔριδος δῆριν ἐρυκόμενοι,
εἰς τὸ μέσον φωνεῦντες, ὁμῶς ἑνὶ καὶ συνάπασι·
  χοὕτως συμπόσιον γίνεται οὐκ ἄχαρι.

Ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος, ὅταν δή
  πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
  γινώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,
καὶ μάλα περ πινυτοῦ, τὸν ὑπὲρ μέτρον ἤρατο πίνων,
  ὥστε καταισχῦναι καὶ πρὶν ἐόντα σοφόν.

481. νήφοσι γίνεται] A. νήφουσι γίνεται O. νήφουσ' εἴδεται vulg. νήφοσιν — Hartung. — 482. ἔρδων K. Crispin. — 483. ὅτε O*. οὔτε Ald. — 484. γινώσκων] O. Cam. γιγν— vulg. — 487. σὺ δ' ἔγχεε] A. σύ δ' ἔχε O. σὺ ἀλλ' ἔχε K. σὺ δὲ ἔχε Ald. et cum lacuna post δὲ Vat. 63. σὺ δ' αὖ ἔχε Crisp. σὺ δ' ἔσχες Cam. — 488. κωτίλλοις O. κοτύλης Ald. τῆς κοτύλης, quod proposuerat Vinet., alii. — 490. ἐπὶ χεῖλος ἄγεις coni. Bergk. — 491. αἰνεῖσθαι (α suprascr.) A. Bekker. in sec. — 492. πολλὰ K. πολλς' O. πολλὸν A. — 494. ἔριδος] A. ἔριδας vulg. — δῆριν ἐρυκόμενοι] Bergk. δὴν ἀπερυκόμενοι vulg. δῆιν ἀπ— A sec. Pr. δῆν απ— sec. M. λῆμ' coni. Schneidewin. — 495. εἰς] AO. vulg. ante Brunck. Is ἐς. — φονεῦντες O. φονέοντες K. — ὁμῶς ἑνὶ om. K. ὁμῶς O. — συνάπασι] συνάπασιν Bekker. συνάπατι A. σὺν ἅπασι K. vulg. σὺν ἅπασιν O. — 496. γίνεται] O. Cam. γίγν— vulg. — 498. πίνῃ] Bekker. πίνητ' A. πίνηθ' O. πίνετ' Ald. πίνεθ' vulg. — ὑπὲρ μέτρον] Bekker. et sic O. ὑπέρμετρον A. ὑπὲρ τὸ μέτρον vulg. — 500. γινώσκουσ'] O. Cam. γιγν— vulg. — Post hunc vs. lacunam statuit Hartung. A om. sec. M. hoc distichon. — 501. ἤρατο] cfr. Bergk. In O

Οἰνοβαρέω κεφαλὴν Ὀνομάκριτε καί με βιᾶται
  οἶνος, ἀτὰρ γλώσσης οὐκέτ' ἐγὼ ταμίης
ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει. ἀλλ' ἄγ' ἀναστάς
  πειρηθῶ, μή πως καὶ πόδας οἶνος ἔχει
καὶ νόον ἐν στήθεσσι. δέδοικα δὲ μή τι μάταιον
  ἔρξω θωρηχθεὶς καὶ μέγ' ὄνειδος ἔχω.

Οἶνος πινόμενος πουλὺς κακόν. ἢν δέ τις αὐτόν
  πίνῃ ἐπισταμένως, οὐ κακόν, ἀλλ' ἀγαθόν.

Ἦλθες δὴ Κλεάριστε βαθὺν διὰ πόντον ἀνύσσας,
  ἐνθάδ' ἐπ' οὐδὲν ἔχοντ' ὦ τάλαν οὐδὲν ἔχων.
νηός τοι πλευρῇσιν ὑπὸ ζυγὰ θήσομεν ἡμεῖς,
  Κλεάρισθ', οἷ' ἔχομεν χοῖα διδοῦσι θεοί·
τῶν δ' ὄντων τἄριστα παρέξομεν. ἢν δέ τις ἔλθῃ
  σεῦ φίλος ὤν, κατάκεισ', ὦ φιλότης, τότ' ἐρεῖς·
οὔτέ τι τῶν ὄντων ἀποθήσομαι, οὔτέ τι μεῖζον
  σῆς ἕνεκα ξενίης ἄλλοθεν οἰσόμεθα.
ἢν δέ τις εἰρωτᾷ τὸν ἐμὸν βίον, ὧδέ οἱ εἰπεῖν·
  ὡς εὖ μὲν χαλεπῶς, ὡς χαλεπῶς δὲ μάλ' εὖ,
ὥσθ' ἕνα μὲν ξεῖνον πατρώιον οὐκ ἀπολείπειν,
  ξείνια δὲ πλεόνεσσ' οὐ δυνατὸς παρέχειν.

Οὔ σε μάτην ὦ Πλοῦτε βροτοὶ τιμῶσι μάλιστα·
  ἦ γὰρ ῥηιδίως τὴν κακότητα φέρεις.

clare vidi ἤρα ̈τ. — 503. οἰνοβαρέω] A. οἰνοβαρῶ O. vulg. — ὄνομα κριταί O. — με βεβιᾶται A. — 504. γλώσσης] Bergk. et Hecker. γνώμης vulg. — οὐκ ἔτ' O*. vulg. — 505. περὶ τρέχει. ἀλάγ' O. ἀλλά γ' vulg. ante Bekker. — 506. ἔχει] A. Cam. ἔχει (η) O. ἔχῃ vulg. η e ras. K. — 508. ἔρξω O. Ald. — 509. 10. πολὺς K. πολλοῖς O. — αὐτῶν O*. — κακός — κακός — ἀγαθός Stob. alii. — 511. ἀνύσας O. — 512. ἔνθαδ' O*. — 514. κλειάριθ' K. κλεάριθ' O. — Nomen repetitum Bergkio videtur indicare haec in arctum redacta esse. Leutsch. statuit post 512 lacunam unius distichi. — οἳ pro οἷ' O. — 515. τὰ ἄριστα codd. et vulg. ante Bekker. — Pro δέ τις A sec. Pr. διης. — 516. κατάκεισ', ὦ φιλότης, τότ' ἐρεῖς] praeeunte Bergkio Leutsch. κατακεισωσφιλοτητο ἔχεις A. κατάκεισ', ὡς φιλότητος ἔχεις vulg. ἔχει K. — 517. οὔτέ — οὔτέ] οὔτέ priori loco K. οὔτ' ἔτι bis O. — ἀποθήσομεν Leutsch. Fort. recte. Cfr. 1207. — μείζω A. — 521. οὐκ ὑπολ— Sylb. ἀποειπεῖν ut coni. Epkema Hartung. — 522. πλεόνεσσ'] Brunck. πλέον ἔστ' AO. vulg. — Post hunc v. addidit Schneidewin. 691. 92.

Καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν,
  ἡ πενίη δὲ κακῷ σύμφορος ἀνδρὶ φέρειν.

Ὢ μοι ἐγὼν ἥβης καὶ γήραος οὐλομένοιο,
  τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισομένης.

Οὐδένα πω προὔδωκα φίλον καὶ πιστὸν ἑταῖρον,
  οὐδ' ἐν ἐμῇ ψυχῇ δούλιον οὐδὲν ἔνι.

Αἰεί μοι φίλον ἦτορ ἰαίνεται, ὁππότ' ἀκούσω
  αὐλῶν φθεγγομένων ἱμερόεσσαν ὄπα.

Χαίρω δ' αὖ πίνων καὶ ὑπ' αὐλητῆρος ἀείδων,
  χαίρω δ' εὔφθογγον χερσὶ λύρην ὀχέων.

Οὔ ποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
  ἀλλ' αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.
οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται οὐδ' ὑάκινθος,
  οὔτέ ποτ' ἐκ δούλης τέκνον ἐλευθέριον.

Οὗτος ἀνὴρ φίλε Κύρνε πέδας χαλκεύεται αὐτῷ,
  εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Δειμαίνω μὴ τήνδε πόλιν Πολυπαΐδη ὕβρις,
  ἥπερ Κενταύρους ὠμοφάγους ὄλεσε.

525. 26. separavit Bergk. a prioribus. — 527. 28. tribuit Bergk. Mimnermo. (Etiam 567—70. 877. 78. 939—42. 983—88. 1007—1012. 1129—32). — ὤιμοι A sec. Pr., ὤιμοι sec. M. οἴμοι editt. ante Brunck. — 528. ἀπονισομένης] A. ἀπονισσομένης Brunck. ἀπανισταμένης vulg. K post α lac., in O apparet απο. — 529. οὐδένα πω] Bergk. οὐδένα A. οὐδέ τινα O. οὔτε τινὰ (οὔτέ τινα) vulg. — 530. οὐδ' ἐν] A. οὐδὲν O. οὔτ' ἐν vulg. — 533—534. seiunxit Bergk. a praegressis Archilocho eos tribuens. — δ' αὖ πίνων] Brunck. δ' εὖ π. vulg. δ' ἐμπίνων (in notis: nisi δὴ πίνων malis) Bergk. — ἀείδων] Piers. ἀκούων vulg. ὄπ' — ἀκούων (ut olim Bergk.) Hartung. — 534. εὖ φθόγγον K. — ἐλάων Piers. δονέων Bergk. K post λύρην (ϊ) lac. O ev. — 535. δουλείη O*. δουλίη Ald. — ἰθεῖα] A. εὐθεῖα vulg. — 536. σκολιὸν K. — 537—38. separavit Bergk. a praegressis. — οὐδ'] Cam. οὐθ' vulg. — 538. οὔτέ] οὔτε Bekker. οὐδέ vulg. — 539. οὗτος] A. οὔτις vulg. — αὐτῷ A. Crisp. — 540. Hartung. uncis inclusit. Cfr. 554. Unus certe horum versuum videtur spurius esse. — 542. ὄλεσε] KO. (hic in marg.: ἀναύξησις ἰωνικῶς.) ὄλεσεν A. Bekker. ὀλέσῃ vulg.

Χρή με παρὰ στάθμην καὶ γνώμονα τήνδε δικάσσαι
  Κύρνε δίκην, ἶσόν τ' ἀμφοτέροισι δόμεν.
* *
μάντεσί τ' οἰωνοῖς τε καὶ αἰθομένοις ἱεροῖσιν,
  ὄφρα μὴ ἀμπλακίης αἰσχρὸν ὄνειδος ἔχω.

Μηδένα πω κακότητι βιάζεο. τῷ δὲ δικαίῳ
  τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.

Ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἐγείρει,
  Κύρν', ἀπὸ τηλαυγέος φαινόμενος σκοπιῆς.
ἀλλ' ἵπποις ἔμβαλλε ταχυπτέρνοισι χαλινούς·
  δηίων γάρ σφ' ἀνδρῶν ἀντιάσειν δοκέω.
οὐ πολλὸν τὸ μεσηγύ· διαπρήξουσι κέλευθον,
  εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα,
  πρός τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.

Φράζεο. κίνδυνός τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς.
  ἄλλοτε πόλλ' ἕξεις, ἄλλοτε παυρότερα,
ὥστέ σε μήτε λίην ἀφνεὸν κτεάτεσσι γενέσθαι,
  μήτέ σέ γ' ἐς πολλὴν χρημοσύνην ἐλάσαι.

543. γνώμονα] ut coni. Valck. A. γνώμην vulg. — δικάσειν K. δικάσ[ε] O. — 544. Post δόμεν plene interpunxit Hartung., tum indicavit lacunam: utrumque auctore Bergkio. — 545. μάντεσί τ'] A. μάντεσιν vulg. — αἰσθομένοις O. — 547. μηδενά πω A sec. H. μηδένά πω K. — βιάζετο K. — 548. ευγεργεσίης A. εὐεργεσίας O*. — 551. τανυπτερύγεσσι libri impressi ante Brunck. — 552. δήων Bekker. — 553. Post μεσηγὺ distinxit Bekker., vulg. nulla distinctio, unde Cam. κελεύθου, Brunck. πολλήν. — 556. πρὸς δὲ A sec. Bekker. — Insigni varietate iteratur hoc distichon post 1178. — 557. φράζεο δ' ὁ κ. A. δ' ὡς κ. ἐπὶ coni. Hermann. δή· κ. ἐπὶ Bergk. — Post hunc vs. lacunam statuit Hartung. — 559. ὥστέ σε] O. ὥστε σε (σὲ Cam.) vulg. λῷστά σε Geel. separans hoc distichon a prioribus. Ahrens. (Beiträge p. 159.) proposuit haec: φράζεο δή — κίνδυν τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς — | ἄλλ' ὅτε πόλλ' ἕξεις, ἄλλ' ὅτε παυρότερα, | ὥστε κτλ.

Εἴη μοι τὰ μὲν αὐτὸν ἔχειν, τὰ δὲ πόλλ' ἐπιδοῦναι
  χρήματα τῶν ἐχθρῶν τοῖσι φίλοισιν ἔχειν.

* *

Κεκλῆσθαι δ' ἐς δαῖτα, παρέζεσθαι δὲ παρ' ἐσθλὸν
  ἄνδρα χρεών, σοφίην πᾶσαν ἐπιστάμενον.
τοῦ συνιεῖν, ὁπόταν τι λέγῃ σοφόν, ὄφρα διδαχθῇς
  καὶ τοῦτ' εἰς οἶκον κέρδος ἔχων ἀπίῃς.

Ἥβῃ τερπόμενος παίζω· δηρὸν γὰρ ἔνερθεν
  γῆς ὀλέσας ψυχὴν κείσομαι ὥστε λίθος
ἄφθογγος, λείψω δ' ἐρατὸν φάος ἠελίοιο,
  ἔμπης δ' ἐσθλὸς ἐὼν ὄψομαι οὐδὲν ἔτι.

Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον·
  πολλοὶ ἀπείρητοι δόξαν ἔχουσ' ἀγαθῶν.

Εὖ ἔρδων εὖ πάσχε. τί κ' ἄγγελον ἄλλον ἰάλλοις;
  τῆς εὐεργεσίης ῥηιδίη ἀγγελίη.

Οἵ με φίλοι προδιδοῦσιν, ἐπεὶ τόν γ' ἐχθρὸν ἀλεῦμαι
  ὥστε κυβερνήτης χοιράδας εἰναλίους.

Ῥήδιον ἐξ ἀγαθοῦ θεῖναι κακὸν ἢ 'κ κακοῦ ἐσθλόν.
  μή με δίδασκ'· οὔ τοι τηλίκος εἰμὶ μαθεῖν.

Ἐχθαίρω κακὸν ἄνδρα, καλυψαμένη δὲ πάρειμι,
  σμικρῆς ὄρνιθος κοῦφον ἔχουσα νόον.

561. αὐτῶν A. — 563. Ante hunc vs. plura exciderunt. — εἰς O. — 565. ὁπότ' ἂν AO (hic cum λέγει). vulg. — 567. παίζων O. — 572. ἀπείρητοι] A. Cam., infra 1104 etiam O. ἀπείρητον vulg. —ήτων Turneb. — ἀγαθοί infra A. Utrumque recte se habet. ἀγαθήν Cam. — 573. ἔρδων K. ἔρδω Ald. — πάσχε. τί] Bekker. πάσχ' ἔτι A. πράττε. τί vulg. — ἰάλλοις] A. ἰάλλεις vulg. τί δ' — ἰάλλεις; Brunck. τί δ' — ἰάλλοις; Hartung. — 574. ευγεργεσίης A. εὐεργεσίας O*. — ῥηιδίη ἀγγελίη] ῥηΐδ— O. ῥηϊδίαγγελίη A. ῥηδίη ἀγ— vulg. — 575. Proditus sum, sed ab amicis, nam ab inimicis mihi caveo (ipse mihi possum cavere). — 576. χειράδας K. De O ambigo, cum in hoc syllabae ει et οι eodem signo sint expressae. — εἰναλίους] KO. εἰναλίας vulg. — 577. ῥήδιον O. Ald. Non opus est positivum mutare in ῥήτερον aut ῥήιον. Cfr. ῥεῖα — ἢ apud Apollon. Rhod. II, 225. — 'κ om. O*. — 578. οὔτι O*. — τηλικός K. — 579—580 Poetriae alicuius esse putat Hartung. — 580. σμικρῆς] A. μικρῆς vulg.

Ἐχθαίρω δὲ γυναῖκα περίδρομον ἄνδρά τε μάργον,
  ὃς τὴν ἀλλοτρίην βούλετ' ἄρουραν ἀροῦν.

Ἀλλὰ τὰ μὲν προβέβηκεν, ἀμήχανόν ἐστι γενέσθαι
  ἀργά· τὰ δ' ἐξοπίσω, τῶν φυλακὴ μελέτω.

Πᾶσίν τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδε
  πῇ σχήσειν μέλλει πρήγματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας
  εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσε·
τῷ δὲ κακῶς ποιεῦντι θεὸς περὶ πάντα τίθησι
  συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.

Τολμᾶν χρὴ τὰ διδοῦσι θεοὶ θνητοῖσι βροτοῖσι,
  ῥηιδίως δὲ φέρειν ἀμφοτέρων τὸ λάχος.

Μήτε κακοῖσιν ἀσῶ τι λίην φρένα, μήτ' ἀγαθοῖσι
  τερφθῇς ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.

Ἄνθρωπ', ἀλλήλοισιν ἀπόπροθεν ὦμεν ἑταῖροι·
  πλὴν πλούτου παντὸς χρήματός ἐστι κόρος.

Δὴν δὴ καὶ φίλοι ὦμεν· ἀτάρ τ' ἄλλοισιν ὁμίλει
  ἀνδράσιν, οἳ τὸν σὸν μᾶλλον ἴσασι νόον.

582. ἀλλοτρίαν A. — βούλεται O. — 583. ἀμήχαν' ἔνεστι Ald. — ἔτ' ἐστὶ Cam. — 584. ἀργά] Eldick. ἔργα vulg. — τῶν φυλακὴ] A. τῇ φυλακῇ vulg. — 585—590 *Solonis* sunt, sed variata. Vid. fr. XIII, 65—70. — πᾶσί O. — οἶδε] O. vulg. — 586. πῇ] A. ποῖ vulg. — 588. εἰς] A (sec. Pr.) O. vulg. ἐς Bekker. Cfr. 404. — ἔπεσε] O. vulg. — 589. κακῶς] Cam. καλῶς vulg. — τίθησι] O. vulg. — 591. βροτοῖσι] A (sec. Pr.) O. vulg. — 592. ἀμφότερον Brunck. — 593—594 Bergk. a praegressis separavit, Hartung. uncinis inclusit. Cfr. 657. — κακοῖσιν ἀσῶ τι λίην] Bergk. Cfr. 989. κακοῖσιν ἀσῶντα λίην A. Bekker. κακοῖσι νοσοῦντα λυποῦ O. κακοῖσι νοσῶν λυποῦ vulg. κακοῖσι λυποῦ K. — ἀγαθοῖσι] A (sec. Pr.) O. vulg. — 594. τερφθῇς δ' A. τερφθέντ' Bekker. — ἐξ ἀπ— O*. — 596. πλούτου] AO. Cam. τούτου Ald. — χρήματος ἐστὶ O*. — 597—598 separavit Bergk. a praegressis. Cfr. 1243. — δη καὶ omisso δὴν K. — ἀτὰρ omisso τ' Cam. probante Bergk. Cfr. Il, IV, 484. — ὁμίλει] A. ὁμιλεῖν vulg.

Οὔ μ' ἔλαθες φοιτῶν κατ' ἀμαξιτόν, ἣν ἄρα καὶ πρίν
  ἠλάστρεις, κλέπτων ἡμετέρην φιλίην.
ἔρρε, θεοῖσίν τ' ἐχθρὲ καὶ ἀνθρώποισιν ἄπιστε,
  ψυχρὸν ὃς ἐν κόλπῳ ποικίλον εἶχες ὄφιν.

Τοιάδε καὶ Μάγνητας ἀπώλεσεν ἔργα καὶ ὕβρις,
  οἷα τὰ νῦν ἱερὴν τήνδε πόλιν κατέχει.

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
  ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον.

Ἀρχῇ ἔπι ψεύδους μικρὴ χάρις· ἐς δὲ τελευτήν
  αἰσχρὸν δὴ κέρδος, καὶ κακὸν ἀμφότερον
γίνεται· οὐδέ τι καλόν, ὅτῳ ψεῦδος προσομαρτῇ
  ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

Οὐ χαλεπὸν ψέξαι τὸν πλησίον, οὐδὲ μὲν αὑτόν
  αἰνῆσαι· δειλοῖς ἀνδράσι ταῦτα μέλει·
σιγᾶν δ' οὐκ ἐθέλουσι κακοὶ κακὰ λεσχάζοντες·
  οἱ δ' ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν.

Οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα
  τῶν νῦν ἀνθρώπων ἠέλιος καθορᾷ.

Οὔτι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται·
  πολλῷ γὰρ θνητῶν κρέσσονες ἀθάνατοι.

Πόλλ' ἐν ἀμηχανίῃσι κυλίνδομαι ἀχνύμενος κῆρ·
  ἄκρην γὰρ πενίης οὐχ ὑπερεδράμομεν.

601. τ' om. A. — 602. ψυχρῷ Bekker. e coni. Wopkensii. — ποικίλῳ Brunck. — ψυχρὸν ὃν — ποικίλον εἶχον Sintenis et Hartung. — 603. τοῖα δὲ A sec. Pr. — 604. τανῦν Cam. — 605. λοιμοῦ O. — 606. πλέον A. — 607. ἀρχὴ ἐπὶ A. (επι sec. H.) Cam. lac. K. ev. O. — μικρὰ AO. — εἰς A (sec. H.) O. — 608. Ita interpunxit Cam. Alii: κέρδος καὶ κακόν, ἀμφότερον, γίν—. — 609. γίνεται] Ald. Cam. γίγν— vulg. K lac. O ev. — ψῦδος O*. — προσομαρτῇ] Crisp. προσαμαρτῇ A. προσομαρτεῖ vulg. — 610. καὶ] A. κἂν vulg. — 611. οὐδέ μεν O*. Cam. — αὐτόν Cam. — 618. πολλῷ] K. Cam. πολλῶν O. πολλὸν vulg. — 619. πολλὰ δ' 1114, fort. rectius. — 620. πενίης] Schneidewin. πενίην vulg.

Πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν·
  πᾶσιν δ' ἀνθρώποις αὐτὸς ἔνεστι νόος.

Παντοῖαι κακότητες ἐν ἀνθρώποισιν ἔασι,
  παντοῖαι δ' ἀρεταὶ καὶ βιότου παλάμαι.

Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν
  καὶ σιγᾶν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν.

Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφοσιν εἶναι,
  αἰσχρὸν δ' εἰ νήφων πὰρ μεθύουσι μένει.

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρός,
  πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Ὧι τινι μὴ θυμοῦ κρέσσων νόος, αἰὲν ἐν ἄταις
  Κύρνε καὶ ἐν μεγάλαις κεῖται ἀμηχανίαις.

Βουλεύου δὶς καὶ τρίς, ὅ τοί κ' ἐπὶ τὸν νόον ἔλθῃ·
  ἀτηρὸς γάρ τοι λάβρος ἀνὴρ τελέθει.

Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς·
  οἳ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι.

Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖοι·
  οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.

622. πᾶσιν δ'] πᾶσι δ' O. πᾶσι δὲ K. πᾶσιν τ' Cam. πᾶσιν Ald. — ᾧὐτὸς Brunck. — 623. ἔασι] vulg. ἔασσι O. — 624. παντοῖδ' O*. — 625. Hartung. posuit colon post ἀγορεύειν, deinde scripsit: καὶ σιγᾶν αἰεὶ τοῦτο μὲν —. — 627. τι O*. — νήφοσιν] A. νήφουσ' vulg. νήφοσι μεῖναι coni. Leutsch. K habet in νήφουσ' εἶναι υσ ει e ras. — 628. μένῃ Turneb. μένοι Brunck. — 631. ᾧ τινι] A. ὥτινι sec. Pr. ᾧπερ vulg. Aliud quid ab origine scriptum fuisse coni. Renner. — κρείσσων O. — 632. Κύρνε, καὶ ἐν] Bergk. Κυρναῖ καὶ A. Κύρνε καὶ O. Κύρνε ἴδ' αὖ K. Κύρνε τοι καὶ Ald. (τι alii.) Κύρνε,† καὶ Cam. Κύρν', ὅγε καὶ Brunck. — κεῖται ἀμηχανίαις] Bergk. κ. ἐν ἀμπλακίαις vulg. Κύρν', ἢ καὶ μ— ἐν ἀμπλακίαις Baiter. — 633. ὅτι κ' O. — ἔλθοι Ald. — 634. ἀτειρός O. — ἀεὶ Bekker. ex A, qui tamen sec. Pr. habet τοι ut reliqui. — 636. οἳ] ut Stob. Turneb. οὐ vulg. — ἐν] A. μὲν vulg. — ὀλίγοι] A. δ' ὀλίγοις vulg. Totum vs. iam Turneb. recte constituerat. — 638. οὗτοι O.

Πολλάκι πὰρ δόξαν τε καὶ ἐλπίδα γίνεται εὖ ῥεῖν
  ἔργ' ἀνδρῶν, βουλαῖς δ' οὐκ ἐπέγεντο τέλος.

Οὔ τοί κ' εἰδείης οὔτ' εὔνοον οὔτε τὸν ἐχθρόν,
  εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχοις.

Πολλοὶ πὰρ κρητῆρι φίλοι γίνονται ἑταῖροι,
  ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους
  κείμενος ἐν μεγάλῃ θυμὸν ἀμηχανίῃ.

Ἦ δὴ νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
  αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται.

Ἆ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις
  σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον;
αἰσχρὰ δέ μ' οὐκ ἐθέλοντα βίῃ καὶ πολλὰ διδάσκεις,
  ἐσθλὰ μετ' ἀνθρώπων καὶ κάλ' ἐπιστάμενον.

Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισι,
  Κύρν'· ἀρετῆς δ' ἄλλης οὐδεμιῆς ἔραμαι.

Σύν τοι Κύρνε παθόντι κακῶς ἀνιώμεθα πάντες·
  ἀλλά τοι ἀλλότριον κῆδος ἐφημέριον.

639. γίνεται] O*. Cam. γίγν— vulg. — εὖ ῥεῖν] conii. Ahrens. Emper. Bergk. ευρεῖν A sec. H. εὑρεῖν vulg. — 641. κ' εἰδείης] A. κήσει ὁ εἷς K. κήδει ὁ εἷς ut O vulg. — εὔνοον] coni. Bergk. εὔνουν vulg. — 642. πράγματος A. — ἀντιτύχης O. — 643. κλήτωρι (ωρι e ras.) K. κλήτορι O. — γίνονται] O. Cam. γίγν— vulg. — 644. πράγματι A. — 646. κείμενον O. — θυμὸν] AO. θυμοῦ vulg. — 647. ἢ δὴ] coni. Bergk. ἤδη vulg. Cfr. Theocrit. V, 120. — 648. οὔτὰρ A. — ἀναιδίη O*. — 649. ἃ O*. — ἐμοῖς ἐπικειμένη] A. ἐμοῖσι καθημένη vulg. — 651. αἴσχεα δ' οὐκ Hartung. — κακὰ πολλὰ Stob. Hartung. κατὰ πολλὰ Bergk καὶ δειλὰ Ahrens. Mihi videntur arte coniungenda βίῃ καὶ π.: mit Gewalt und in Menge. — 652. μετ'] A. παρ' vulg. — ἐπιστάμενος O. — 653. ἀθανάτοισι] K. vulg. φίλοισ ἀθανάτοισ O. — 654. δ' om. O. — οὐδεμιᾶς O. — 655. σύν τοι] A. Bekker. σὺν σοὶ vulg. — 656. τόγ' Brunck.

Μηδὲν ἄγαν χαλεποῖσιν ἀσῶ φρένα μηδ' ἀγαθοῖσι
  χαῖρ', ἐπεὶ ἔστ' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ.

Οὐδ' ὀμόσαι χρὴ τοῦθ', ὅτι μήποτε πρῆγμα τόδ' ἔσται·
  θεοὶ γάρ τε νεμεσῶσ', οἷσιν ἔπεστι τέλος,
καὶ πρῆξαι μέντοι τι. καὶ ἐκ κακοῦ ἐσθλὸν ἔγεντο,
  καὶ κακὸν ἐξ ἀγαθοῦ. καί τε πενιχρὸς ἀνήρ
αἶψα μάλ' ἐπλούτησε· καὶ ὃς μάλα πολλὰ πέπαται,
  ἐξαπίνης πάντ' οὖν ὤλεσε νυκτὶ μιῇ.
καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
  ἔσπετο, καὶ τιμῆς καὶ κακὸς ὢν ἔλαχεν.

Εἰ μὲν χρήματ' ἔχοιμι, Σιμωνίδη, οἷά περ ᾔδειν,
  οὐκ ἂν ἀναινοίμην τοῖς ἀγαθοῖσι συνών.
νῦν δέ με γινώσκοντα παρέρχεται, εἰμὶ δ' ἄφωνος
  χρημοσύνῃ, πολλῶν γνούς περ ἄμεινον ἔτι,
οὕνεκα νῦν φερόμεσθα καθ' ἱστία λευκὰ βαλόντες
  Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν·
ἀντλεῖν δ' οὐκ ἐθέλουσιν· ὑπερβάλλει δὲ θάλασσα
  ἀμφοτέρων τοίχων. ἦ μάλα τις χαλεπῶς

657. ἀγαθοῖσι AO. vulg. — 658. ἐπεὶ ἔστ'] O. Cam. ἐπεί ἐστ' vulg. — 659—666 coniunxerunt Cam. Bergk. Hartung. — Bekker. separavit 659—660. 661—664. 665—666. — 659. τοῦθ', ὅτι] Cam. τουτοτι A sec. Bekker., τοῦτο τι sec. Pr. τοῦ[το] O. τούτω e ras. K. τοῦτο (τοῦτό) τι vulg. χρὴ τοῦτ'· οὐ μήποτε Ahrens. — πρᾶγμα A (sec. H.) K. πράγμα O. χρῆμα Cam. — 660. γάρ τε] AO. Cam.: γράφεται ἐν ἐνίοις γάρ τοι. Idem commendavit Hermann. καὶ γὰρ vulg. In f. v. mutavi colon in comma. — 661. Poeta videtur dixisse: accidit etiam, ut dii hominibus invideant facere et quod velint et quomodo velint. Fort. πολλάκι καὶ πρῆξαί τι. — 663. πέπαται] Brunck. πέπασται vulg. πέπαστ[ο αι] O. πέπατο malebat Schaefer. — 664. ἐξαπίνης αποτοῦν (ἀπὸ τοῦν sec. Pr.) A. ἐξ ἀπίνης πάντα O. πάντα γε ἐξαπίνης K. ἐξαπίνης ἄπο τ' οὖν Orelli cum Herm. — ἀπὸ πᾶμ' Hartung. ἀπὸ πάντ' coni. Bergk. ἀπὸ ταῦτ' Dreykorn. — μιῇ] μιῆι A, μιᾷ vulg. μῖ[α] O. — 666. τιμῆς] A. Cam. τιμὴν vulg. τιμὴ O. — 667—682 integra est elegia, quam Hartung. et Bergk. tribuunt *Eueno Pario maiori*. — οἷα περ O*. — ἤδη A. ᾔδεα coni. Renner. οἶδα Bergk. πάροιθεν H. Schneidewin. — 668. ἂν om. O. — ἀναινοίμην] Hartung. e coni. Bergk. ἀνοίμην A. ἀνιφμην vulg. σιγῴην Herwerden. — τοῖσιν O*. — 669. γινώσκοντα] O. Cam. γιγν— vulg. — 670. πολλῶ K. — γνοῦσαν A. ἂν pro περ Cam. om. Ald. et K, qui γνόντι ἄμεινον omisso etiam ἔτι. — 671. οὕνεκα νῦν φερόμεθα καθιστία λ. βάλλοντες O*. — 674. ἦ O. ᾗ Vat. 63. ᾗ μάλα τὶς Cam.

σώζεται, οἵ' ἔρδουσι. κυβερνήτην μὲν ἔπαυσαν
  ἐσθλόν, ὅτις φυλακὴν εἶχεν ἐπισταμένως·
χρήματα δ' ἁρπάζουσι βίῃ, κόσμος δ' ἀπόλωλε,
  δασμὸς δ' οὐκέτ' ἴσος γίνεται ἐς τὸ μέσον,
φορτηγοὶ δ' ἄρχουσι, κακοὶ δ' ἀγαθῶν καθύπερθεν.
  δειμαίνω μή πως ναῦν κατὰ κῦμα πίῃ.
ταῦτά μοι ᾐνίχθω κεκρυμμένα τοῖς ἀγαθοῖσι·
  γινώσκοι δ' ἄν τις καὶ κακός, ἢν σοφὸς ᾖ.

Πολλοὶ πλοῦτον ἔχουσιν ἀίδριες· οἱ δὲ τὰ καλά
  ζητοῦσιν χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται·
  εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

Οὐκ ἔστι θνητοῖσι πρὸς ἀθανάτους μαχέσασθαι
  οὐδὲ δίκην εἰπεῖν· οὐδενὶ τοῦτο θέμις.

Οὐ χρὴ πημαίνειν ὅ τι μὴ πημαντέον εἴῃ,
  οὐδ' ἔρδειν ὅ τι μὴ λώιον ᾖ τελέσαι.

Χαίρων εὖ τελέσειας ὁδὸν μεγάλου διὰ πόντου,
  καί σε Ποσειδάων χάρμα φίλοις ἀνάγοι.

Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφραίνοντας·
  γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ' ἐσθλὰ παρῇ.

675. σώιζ— A. — σώζεται, οἵ'] e coni. Bekkeri Hartung. σώζεται. (σώζεται·) οἱ δ' vulg. οἵδ' O. Cam. — ἔρδουσι] AO. ἔρδ— K. (A sec. H.) εὕδουσι vulg. — κυβερνῆται (ῆται e ras.) K. κυβερνήτα O. — 676. ὅτις] A. δ' ὃς O. γ' ὃς vulg. — ᾗ μάλ' (ᾗ e ras.) K. Idem ἐπιστάμενος. In O clare vidi εἶ, reliqua ev. — 677. ἀπόλωλε] O. vulg. — 678. ἶσος O*. ἴσως Ald. — γίνεται] O. Cam. γίγν— vulg. — ἐς] A. εἰς vulg. K lac. O ev. — 679. καθύπερθε O*. Cam. — 681. ταῦτα O. — ἀγαθοῖσι] A (sec. Pr.) O. vulg. — 682. γινώσκοι] Cam. γινώσκῃ K. γινώσκει O. γιγνώσκοι vulg. — κακός] Brunck. κακόν vulg. νῦν κακόν Hartung. — ἢν] Schneidewin. ἂν vulg. — 684. ζητοῦσι A (sec. Pr.) O*. — χαλεποὶ A. — πειρόμενοι K. In O videtur π correctum esse in τ. — 685. τ' pro δ' O. — 687. οὐκ ἔστι] A (sec. Pr.) K. vulg. οὐκέστι O. οὐκ ἐστὶ Cam. — 689. πημαίνειν] AO. ποιμ— vulg. — ὅτε AO. — πημαντέον] AO. ποιμ— vulg. — εἴῃ] coni. O. Schneider. εἴη vulg. — 690. ἔρδειν K. — ὅτε O. — 692. καὶ σὲ Cam. — ἀνάγοι] conii. Hecker. et Bergk. ἀγάγοι vulg. ἀγάγῃ O*. — 693. ἀφραίνοντας] AO. ἀφρονέοντας vulg. ἀφρανέ— Cam.

Οὐ δύναμαί σοι θυμὲ παρασχεῖν ἄρμενα πάντα.
τέτλαθι· τῶν δὲ καλῶν οὔτι σὺ μοῦνος ἐρᾷς.

Εὖ μὲν ἔχοντος ἐμοῦ πολλοὶ φίλοι· ἢν δέ τι δεινόν
συγκύρσῃ, παῦροι πιστὸν ἔχουσι νόον.

Πλήθει δ' ἀνθρώπων ἀρετὴ μία γίνεται ἥδε,
πλουτεῖν· τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος,
οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ,
πλείονα δ' εἰδείης Σισύφου Αἰολίδεω,
ὅστε καὶ ἐξ Ἀίδεω πολυιδρίῃσιν ἀνῆλθε,
πείσας Περσεφόνην αἱμυλίοισι λόγοις,
ἥτε βροτοῖς παρέχει λήθην, βλάπτουσα νόοιο —
ἄλλος δ' οὔ πώ τις τοῦτό γ' ἐπεφράσατο,
ὅντινα δὴ θανάτοιο μέλαν νέφος ἀμφικαλύψῃ,
ἔλθῃ δ' ἐς σκιερὸν χῶρον ἀποφθιμένων,
κυανέας τε πύλας παραμείψεται, αἵτε θανόντων
ψυχὰς εἴργουσιν καίπερ ἀναινομένας·
ἀλλ' ἄρα καὶ κεῖθεν πάλιν ἤλυθε Σίσυφος ἥρως
ἐς φάος ἠελίου σφῇσι πολυφροσύναις· —
οὐδ' εἰ ψεύδεα μὲν ποιοῖς ἐτύμοισιν ὁμοῖα,
γλῶσσαν ἔχων ἀγαθὴν Νέστορος ἀντιθέου,
ὠκύτερος δ' εἴησθα πόδας ταχεῶν Ἁρπυιῶν
καὶ παίδων Βορέω, τῶν ἄφαρ εἰσὶ πόδες.

695. σε O*. — παρασχέμεν? — ἅρμενα K. Cam. — 696. σῶν O. — μόνος AO. Ald. — 697—698 videntur Bergkio coniungendi cum sequentibus. In edit. Cam. leguntur coniuncti. — 698. συγκύρσῃ] Bekker. συγκύρσηι A. ἐγκύρσῃ vulg. — 699. μίη O. — γίνεται] O*. Cam. γίγν— vulg. — 701. οὐδ' ἢν Cam. — ἔχεις O. — 702. σισύφου αἰολίδεω] A. αἰολίδου σισύφου vulg. — 703. ἀίδεω] A ut Turneb. ἀίδαο vulg. — πολυδρίῃσιν O. — ἀνῆλθε] O. vulg. — 705. βλάπτουσαν K. — νόοιο] AO. νόημα vulg. — 706. τίς τοῦτο O*. — ἐφράσατο O. — 707. ἀμφικαλύψῃ] Bekker. ἀμ—ψηι A. ἀμφικαλύψοι vulg. — 708. ἔλθῃ] A. ἔλθη O. ἔλθοι vulg. — σκιερὸν] AO. κρυερὸν vulg. — ἀποφθιμένος A. — 710. εἴργουσι A (sec. Pr.) O*. — 711. καὶ κεῖθεν] Bekker. κἀκεῖθεν libri. (O* κακεῖθεν.) — πάλιν ἤλυθε σίσυφος ἥρως] ut Jortin. coniecerat A. πάλιν ἦλθε σισυφος γ' ἥρως K. πάλιν ἦλθε
οσ
σισύφορ γ' ἥρως O. σίσυφος πάλιν ἤλυθεν ἥρως vulg. — 713. ποιοῖς] ut Turneb. A. ποιεῖς vulg. — 714. ἀγανὴν Hartung. e coni. Heckeri. At non de miti eloquentia agitur, sed de apta ad persuadendum: ἀγαθὴ est ἀγ. πείθειν. — νέστωρος O*. — 715. ταχέων AO. — ἁρπυίων O. — 716. βορέω] A. βορέου vulg. — εἰσὶ] O. Ald. εἶσι A. Cam. ἶσι Vinet. alii probante Hermanno.

ἀλλὰ χρὴ πάντας γνώμην ταύτην καταθέσθαι,
  ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Ἰσόν τοι πλουτοῦσιν, ὅτῳ πολὺς ἄργυρός ἐστι
  καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία
ἵπποί θ' ἡμίονοί τε, καὶ ᾧ τὰ δέοντα πάρεστι,
  γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν,
παιδός τ' ἠδὲ γυναικός, ὅταν καὶ τῶν ἐφίκηται,
  ὥρη, σὺν δ' ἥβη γίνεται ἁρμοδίη,
ταῦτ' ἄφενος θνητοῖσι. τὰ γὰρ περιώσια πάντα
  χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀίδεω,
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας
  νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

Φροντίδες ἀνθρώπων ἔλαχον πτερὰ ποικίλ' ἔχουσαι,
  μυρόμεναι ψυχῆς εἵνεκα καὶ βιότου.

Ζεῦ πάτερ, εἴθε γένοιτο θεοῖς φίλα τοῖς μὲν ἀλιτροῖς
  ὕβριν ἁδεῖν, καί σφιν τοῦτο γένοιτο φίλον
θυμῷ, σχέτλια ἔργα μετὰ φρεσὶν ὅστις ἀθειρής
  ἐργάζοιτο θεῶν μηδὲν ὀπιζόμενος,

717. ἀλλὰ χρὴ] AO. ἀλλά γε χρὴ vulg. — ταύτῃ Bergk. — 719—728 *Solonis* sunt, vid. fr. 24. — ὅσοις Stob. Cam. — ἐστι] A (sec. Pr.) K. vulg. ἄργυρος ἐστὶ O. — 721. πάρεστι] A (sec. Pr.) O. vulg. — 723. Cfr. de hoc loco Bergk. ad Solon. — καὶ τῶν ἐφίκηται] Hartung. cum virgulis post γυναικός et ἐφ—. δέ κε τῶν ἀφίκηται ὥρη, vulg. ἀμφίκηται O. ἀφ e ras. K. — 724. γίνεται] O. Cam. γίγν— vulg. — ἁρμοδίη] ἁρμοδία ut sec. Pr. A et Stob. Bekker. ἁρμόδιον K. ἁρμόδιος O. vulg. Num σὺν δὲ βίος γ. ἁρμόδιος? Tum sermo esset de valetudine, de coniuge et puero, de victu cultuque. — 726. ἐς O. — ἀίδεω] AO. ἀίδην vulg. — 727. φύγῃ O*. — 729. ἀνθρώπους postulat Hartung. — Ald. Cam. alii om. hoc distichon. Est omnino a sententiis, quae continentur 699—752, alienum. — Bergk. vindicat etiam 731—752 *Soloni*. — 731. εἴγε Bamberger. — 732. Bergkio videntur post ὕβριν ἁδεῖν ab eo, qui haec in epitomen redegerit, plura omissa esse. Poetam repetiisse post longiorem intercapedinem primarium enuntiatum verbis καί σφιν —. Herwerden. scribit (eiectis 732. 33) Ζεῦ πάτερ, εἴθε γένοιτο θεοῖς φίλον, ὅστις ἀλιτρά | ἐργάζοιτο κτλ. — 733. μετὰ φρεσὶν] Cam. διατάφρεσι δ' A. μετὰ φρεσὶ θ' O. μετὰ φρεσὶ δ' vulg. commate aut colo post ἔργα posito. — ἀθειρής] Bergk. ἀθήνης codd. Ald. ἀπηνὴς Cam.

αὐτὸν ἔπειτα πάλιν τῖσαι κακά, μηδέ τ' ὀπίσσω
  πατρὸς ἀτασθαλίαι παισὶ γένοιντο κακόν·
παῖδες δ' οἵτ' ἀδίκου πατρὸς τὰ δίκαια νοεῦντες
  ποιῶσι Κρονίδη σὸν χόλον ἀζόμενοι,
ἐξ ἀρχῆς τὰ δίκαια μετ' ἀστοῖσιν φιλέοντες,
  μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων.
ταῦτ' εἴη μακάρεσσι θεοῖς φίλα. νῦν δ' ὁ μὲν ἔρδων
  ἐκφεύγει, τὸ κακὸν δ' ἄλλος ἔπειτα φέρει.

Καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστὶ δίκαιον,
  ἔργων ὅστις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων,
μή τιν' ὑπερβασίην κατέχων μηδ' ὅρκον ἀλιτρόν,
  ἀλλὰ δίκαιος ἐὼν μὴ τὰ δίκαια πάθῃ;
τίς δή κεν βροτὸς ἄλλος, ὁρῶν πρὸς τοῦτον, ἔπειτα
  ἅζοιτ' ἀθανάτους, καὶ τίνα θυμὸν ἔχων,
ὁππότ' ἀνὴρ ἄδικος καὶ ἀτάσθαλος, οὔτέ τευ ἀνδρῶν
  οὔτέ τευ ἀθανάτων μῆνιν ἀλευόμενος,
ὑβρίζῃ πλούτῳ κεκορημένος, οἱ δὲ δίκαιοι
  τρύχονται χαλεπῇ τειρόμενοι πενίῃ;

Ταῦτα μαθών, φίλ' ἑταῖρε, δικαίως χρήματα ποιοῦ,
  σώφρονα θυμὸν ἔχων ἐκτὸς ἀτασθαλίης,
αἰεὶ τῶνδ' ἐπέων μεμνημένος. ἐς δὲ τελευτὴν
  αἰνήσεις μύθῳ σώφρονι πειθόμενος.

Ζεὺς μὲν τῆσδε πόληος ὑπειρέχοι, αἰθέρι ναίων,
  αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀπημοσύνῃ,

735. τίσαι A (sec. Pr.) O*. τίσσαι Cam. — μὴ δέ τ' K. Cam. μηδ' ἔτ' Herm. — 736. ἀτασθαλίαι] A. ἀτασθαλίᾳ O. —λία K. —λίη vulg. — γένοιντο] A. γένοιτο vulg. — 737. παῖδας Cam. — τ' A. θ' O. — πατρὸς φύντες τὰ δίκαια Hartung. — 738. ποιῶσι] ποιῶσιν A. ποιοῦσι vulg. — 739. τὰ om. A. — ἀστοῖσι AO. — 741. ἔρδων K. — 743. ἐστι O*. vulg. — δικαίων A. — 745. μηδ'] Bekker. μήθ' libri. — 747. κεν] A. καὶ vulg. — 749. οὔτέ] Crisp. — τι K. Cam. De O ambigo. — ἀνδρῶν] Brunck. ἀνδρός K. vulg. ἀν^δρ O. — 750. οὔτέ] K. Crisp. — τευ] A. τι vulg. — ἀλευάμενος K. Cam. — 751. ὑβρίζῃ] A. ὑβρίζει O. vulg. K lac. — 752. τρύχωνται Bekker. — 755. εἰς AO. — 757. πόληος super η scr. ϊ O*. — ὑπειρέχοι] AO. vulg. ὑπερέχοι Ald. — 758. ἀπημοσύνην K.

ἄλλοί τ' ἀθάνατοι μάκαρες θεοί· αὐτὰρ Ἀπόλλων
  ὀρθώσαι γλῶσσαν καὶ νόον ἡμέτερον.
φόρμιγξ δ' αὖ φθέγγοιθ' ἱερὸν μέλος ἠδὲ καὶ αὐλός,
  ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσσάμενοι
πίνωμεν, χαρίεντα μετ' ἀλλήλοισι λέγοντες,
  μηδὲν τὸν Μήδων δειδιότες πόλεμον.
ὧδ' εἴη κεν ἄμεινον· ὁμόφρονα θυμὸν ἔχοντας
  νόσφι μεριμνάων εὐφροσύνως διάγειν
τερπομένους, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι,
  γῆράς τ' οὐλόμενον καὶ θανάτοιο τέλος.

Χρὴ Μουσῶν θεράποντα καὶ ἄγγελον, εἴ τι περισσόν
  εἰδείη, σοφίης μὴ φθονερὸν τελέθειν,
ἀλλὰ τὰ μὲν μῶσθαι, τὰ δὲ δεικνύναι, ἄλλα δὲ ποιεῖν.
  τί σφιν χρήσηται μοῦνος ἐπιστάμενος;

Φοῖβε ἄναξ, αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην,
  Ἀλκαθόῳ Πέλοπος παιδὶ χαριζόμενος·
αὐτὸς δὲ στρατὸν ὑβριστὴν Μήδων ἀπέρυκε
  τῆσδε πόλευς, ἵνα σοι λαοὶ ἐν εὐφροσύνῃ
ἦρος ἐπερχομένου κλειτὰς πέμπωσ' ἑκατόμβας,
  τερπόμενοι κιθάρῃ τ' ἠδ' ἐρατῇ θαλίῃ
παιάνων τε χοροῖς ἰαχῆσί τε σὸν περὶ βωμόν.
  ἦ γὰρ ἔγωγε δέδοικ' ἀφραδίην ἐσορῶν

760. ὀρθώσαι] A. (sec. Pr. ῶ.) ἀρθρώσαι vulg. —ῶσαι O*. Ald. — 761—768 coniunxit Bergk. (ut iam Cam.) cum prioribus. — φόρμιγξ δ' αὖ] Brunck. φόρμιγγ' δ' αὖ A. φόρμιγγ' αὖ vulg. — φθέγγοιθ'| O. Ald. φθέγγοισθ' A. Cam. — αὐλός] ut Brunck. A. αὐλῷ vulg. — 762. Libationes gratas reddentes diis i. e. libationibus propitios nobis reddentes deos. — ἀρεσσόμενοι AO. σπονδαῖς Φοῖβον ἀρεσσάμενοι coni. Schmidt. — 764. τῶν A. Cam. τον sequente virgula O*. — πολέμων A. — 765. εἴη κεν ἄμεινον·] Ahrens. et Bergk. ειν καὶ ἀμεινον A. εἶναι καὶ ἀμείνονα O. Ald. εἶναι καὶ ἄμεινον Cam. — ὁμόφρονα] Brunck. εὔφρονα aut ἐύφρονα vulg. ὧδ' εἶναι. καὶ ἄμεινον ὁμ— Brunck. ὧδ' εἴη καὶ ἄμεινον· ὁμ— Hartung. — 767. Post τερπομένους videntur Bergkio nonnulla omissa esse. — 770. Vulgo distinguitur post σοφίης. Correxit Bergk. — 771. δεικνύειν AO. δεικνύμεν Ahrens. et Hartung. — 772. χρήσεται O. χρησεῖται Herm. — 774. ἀλκοθόω O. — 776. πόλεος Renner. Cfr. 1043. — 778. τ' ἠδ'] Herm. καὶ vulg. καί τ' Schaefer. τ' ἄμφ' Hartung. κιθάρης ἠδ' Bergk. — 779. ἰαχῆσί] Bergk. e coni. Bekkeri. ἰαχοισί A. ἰαχαῖσί vulg. — τὸν O.

καὶ στάσιν Ἑλλήνων λαοφθόρον· ἀλλὰ σὺ Φοῖβε
  ἵλαος ἡμετέρην τήνδε φύλασσε πόλιν.

Ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς Σικελήν ποτε γαῖαν,
  ἦλθον δ' Εὐβοίης ἀμπελόεν πεδίον
Σπάρτην τ' Εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ·
  καί μ' ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον.
ἀλλ' οὔτίς μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων.
  οὕτως οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρης.

Μή ποτέ μοι μελέδημα νεώτερον ἄλλο φανείη
  ἀντ' ἀρετῆς σοφίης τ', ἀλλὰ τόδ' αἰὲν ἔχων
τερποίμην φόρμιγγι καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ,
  καὶ μετὰ τῶν ἀγαθῶν ἐσθλὸν ἔχοιμι νόον.

Μήτέ τινα ξείνων δηλεύμενος ἔργμασι λυγροῖς
  μήτέ τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐών
τὴν σαυτοῦ φρένα τέρπε. δυσηλεγέων δὲ πολιτῶν
  ἄλλός τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ·
  τῶν δὲ κακῶν μνήμη γίνεται οὐδεμία.

Ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίνεται οὐδείς·
  ἀλλ' ὡς λώιον, οὗ μὴ πλεόνεσσι μέλοι.

Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται οὔτε πέφυκεν,
  ὅστις πᾶσιν ἁδὼν δύσεται εἰς Ἀίδεω·

783. ἐς Brunck. alii. — σικελικὴν Ald. — 785. δ' AO. — εὐρώταν K. — δονακοτρόφον O. — ἱερὸν K et superscr. ἀγλαὸν O. — 789. νεώτερον om. O. νεωτέρῳ coni. Bergk. μελέδημ' ἀγανώτερον Leutsch. — 790. σοφίης τ'] A. σοφίης vulg. ἐρατῆς σοφίης Vinet. — 793—796 *Mimnermi* sunt, vid. fr. 7. — 793. μήτέ τινα] O. — ξείνων] A. ξεῖνον vulg. — 794. μήτέ τιν'] O. — 795. αὐτοῦ vel σωυτοῦ Ahrens. σὴν αὐτοῦ Renner. — τε K. τὲ O. — 796. ἄλλός τίς σε] ἄλλος τίς σε Cam. vulg. ἄλλός τις σὲ Crisp ἄλλος τοι σε A. — τοῖσδε O. Ald. — ἀμεῖνον O*. — 798. 99. γίνεται] O. Cam. γίγν— vulg. — 800. ὡς λώιον, οὗ] Brunck., quem dubitanter secutus sum. ὧ λώιον, οὗ Ald. ᾧ λώιον, οὗ vulg., cum signo interrogationis post λώιον Cam. ὥσει λώιον A. ὡς λώιον, ὃ O. ὃς λώιος, ὃς K. Bergk. et cum δὴ pro μὴ Herwerden. ἄλλως λώιον, εἰ Herm. — μέλοι] AO. Bergk. μέλει vulg. — 801. οὐδὲ pro οὔτε O. — 802. πᾶσαν O. — ἀίδεω] A. ἀίδου vulg.

οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
  Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἁδεῖν δύναται.

Τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρεῖν
  εὐθύτερον χρὴ νοῦν Κύρνε φυλασσόμενον,
ᾧ τινί κεν Πυθῶνι θεοῦ χρήσασ' ἱέρεια
  ὀμφὴν σημήνῃ πίονος ἐξ ἀδύτου·
οὔτέ τι γὰρ προσθεὶς οὐδέν κ' ἔτι φάρμακον εὕροις,
  οὔτ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις.

Χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος οὔτι κάκιον,
  τῶν δ' ἄλλων πάντων Κύρν' ἀνιηρότατον.
οἵ με φίλοι προὔδωκαν· ἐγὼ δ' ἐχθροῖσι πελασθεὶς
  εἰδήσω καὶ τῶν ὅντιν' ἔχουσι νόον.

Βοῦς μοι ἐπὶ γλώσσῃ κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων
  ἴσχει κωτίλλειν καίπερ ἐπιστάμενον.

Κύρν', ἔμπης ὅ τι μοῖρα παθεῖν, οὐκ ἔσθ' ὑπαλύξαι·
  ὅ ττι δὲ μοῖρα παθεῖν, οὔτι δέδοικα παθεῖν.

Ἐς πολυάρητον κακὸν ἥκομεν, ἔνθα μάλιστα
  Κύρνε συναμφοτέρους μοῖρα λάβοι θανάτου.

Οἳ δ' ἀπογηράσκοντας ἀτιμάζουσι τοκῆας,
  τούτων τοι χώρη Κύρν' ὀλίγη τελέθει.

805. θεωρεῖν] Hartung. θεωρῶν libri. θεωρὸν Vinet. Cam. — 806. χρὴ νοῦν] Hartung. e coni. Geelii. χρὴ μὲν vulg. χρῆ μὲν K. χρὴ μὶν Cam. χρή μιν Turneb. — φυλασσέμεναι Cam. Ahrens. (Beiträge p. 62.) θεωρεῖν — χρηόν — φυλασσόμενον. — 807. ὅττινα = ἥντινα Ahrens. — κ' ἐν K. — θεοῦ χρήσασ' ἱέρεια] Brunck. θεοῦ χρήσασ ἱερεῖα A. θεὸς χρήσας ἱερεῖα O. θεὸς χρήσας (χρήσασ Ald.) ἱερείᾳ vulg. — 809. οὔτέ τι] O*. — οὐδέν κ' ἔτι] Epkema. οὐδέν κέ τι vulg. κέ e ras. K. — 810. οὐδ' AO. — 811. μενοεικέος A. — 812. ἀνιηρότερον K. — 814. καὶ τὸν AO. καὶ τοὶ K., unde Bergk. coni. καὶ τούς. Hartung. scripsit καιρὸν χὤντιν'. — 815. γλώσσῃ] Bekker. γλώσσηι A. γλώσσης vulg. — Cam. om. distichon. — 817. δ' post ἔμπης delevit Bergk. — 818. μαθεῖν Bergk. — 819. πολυάρητον] A. πολυάρρητον K. πολὺ ἄρρητον O Brunck. π. ἄρρηκτον vulg. — 820. σὺν ἀμφ— vulg. ante Bekker. lac. K. O ev. — 821. Pro οἳ δ' A οι κ', K οὐκ, O ambiguus. οἵ κ' — ἀτιμάζωσι coni. Bergk. — ἀπὸ γηρ— Bergk. οἳ καταγηρ— Hartung. — 822. τούτων θεοῖς ὤρη praeeuntibus aliis Hartung. Cfr. 152 et Herm. ad Aeschyli Agam. 78. Rennero videtur hoc distichon compilator Syllogae fabricasse. — πέλεται Cam.

Μήτέ τιν' αὔξε τύραννον ἐπ' ἐλπίδι, κέρδεσιν εἴκων,
  μήτε κτεῖνε θεῶν ὅρκια συνθέμενος.

Πῶς ὑμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδειν
  θυμός; γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,
ἥτ' ἔτρεφεν καρποῖσιν . . . ἐν εἰλαπίναις φορέοντας
  ξανθῇσίν τε κόμαις πορφυρέους στεφάνους.
ἀλλ' ἄγε δὴ Σκύθα κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον,
  πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.

Πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δ' ἐσάωσα·
  γνώμη δ' ἀργαλέη γίνεται ἀμφοτέρων.

Πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθόρῳ. οὐδέ τις ἡμῖν
  αἴτιος ἀθανάτων Κύρνε θεῶν μακάρων,
ἀλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα δειλὰ καὶ ὕβρις
  πολλῶν ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλε.

Δισσαί τοι πόσιος κῆρες δειλοῖσι βροτοῖσι,
  δίψά τε λυσιμελὴς καὶ μέθυσις χαλεπή.
τούτων δ' ἀν τὸ μέσον στρωφήσομαι, οὐδέ με πείσεις
  οὔτέ τι μὴ πίνειν οὔτε λίην μεθύειν.

Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ' ἀχάριστον,
  εὖτ' ἂν θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγῃ.

823. μήτέ] O*. — ἐλπίδι] Bekker. ἐλπίσι libri. — κέρδεσιν εἴκων] A. κέρδευς εἶναι O. κέρδεος εἶναι vulg — 824. κτεῖναι O. — 825. ὑμῖν] A. ἡμῖν vulg. — 827. καί τε K. — ἥτ' ἔτρεφεν] conii. Herwerden. et Hartung. ἥτε τρέφει vulg. — 828. ξανθῇσί O. Cam. ξανθῇσ' ἀμφὶ κόμαις Hartung. praeeunte Schneidewin., qui ξανθαῖς ἀμφὶ κ. Bergkio videntur post καρποῖσιν plura excidisse. — 831. ὤλεσ' K. ὤλεσα O. ἀπώλεσ' Herm. — 832. γίνεται] O. Cam. γείν— A. γίγν— vulg. — 833. φθόρῳ] Bekker. φθόρωι A. φθορᾷ vulg. — 835. δειλὰ] A. πολλὰ vulg. — 836. εἰς A. Cam. — ἔβαλε] O. ἔβαλον Cam. — 837. βροτοῖσι] O. vulg. — 838. χαλεπαὶ K. — 839. ἂν K. vulg. ἂν O. Correxit Bekker. in sec. — 840. οὔτέ] O*. οὔτ έτι A sec. H. οὔτ' ἔτι Ahrens. — 841. ἀχάριστον] A. —στος vulg. — 842. ἄγῃ] AO. Brunck. ἄγει Ald. ἄγοι Cam.

Ἀλλ' ὁπόταν καθύπερθεν ἐόνθ' ὑπένερθε γένηται,
  τουτάκις οἴκαδ' ἴμεν παυσάμενοι πόσιος.

Εὖ μὲν κείμενον ἀνδρὶ κακῶς θέμεν εὐμαρές ἐστιν,
  εὖ δὲ θέμεν τὸ κακῶς κείμενον ἀργαλέον.

Λὰξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
  ὀξέι, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει·
οὐ γὰρ ἔθ' εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
  ἀνθρώπων ὁπόσους ἠέλιος καθορᾷ.

Ζεὺς ἄνδρ' ἐξολέσειεν Ὀλύμπιος, ὃς τὸν ἑταῖρον
  μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει.

Ἤιδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώια δὴ νῦν,
  οὕνεκα τοῖς δειλοῖς οὐδεμί' ἔστι χάρις.

Πολλάκι δὴ πόλις ἥδε δι' ἡγεμόνων κακότητα
  ὥσπερ κεκλιμένη νηῦς παρὰ γῆν ἔδραμε.

Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δειλὸν ἔχοντα,
  αὐχέν' ἀποστρέψας οὐδ' ἐσορᾶν ἐθέλει·
ἢν δέ τί μοί ποθεν ἐσθλόν, ἃ παυράκι γίνεται ἀνδρί,
  πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω.

843. ἐόνθ'] Hartung. ἐὼν vulg. τά γ' ὕπερθεν ἐόνθ' Herm. et Bergk. in proecdosi. Nunc ei praestare videtur καθύπερθ' ἀνδρών. — 844. παυσάμενον Cam. — 845. ἀνδρὶ] Herm. et Hecker. ἄνδρα vulg. — 853. ᾔδεα] Commelin. ἠδέα libri. O ev , modo α apparet. ἡδεῖα (?) eruit Hinck. — λώια δὴ νῦν] A. λώια ἢ νῦν O. λῴονα ἢ νῦν Ald. λώονα δὴ νῦν Cam. λώιον ἤδη (ut 1038) Bekker. — 854. οὕνεκα O*. τοὔνεκα A. vulg. ante Bekker. — οὐδὲ μί' A sec. Pr. οὐδεμί' ἐστὶ K et vulg. ante Bekker. οὐδὲ μί' ἐστὶ O. — 855. πολλάκι δὴ] O. Schneider. et Sintenis. πολλάκις ἡ libri. — 856. νηῦς] Schneidewin. et Hartung. ναῦς vulg. — ἔδραμε] O. vulg. — 857. μ' ἔτι A. — δειλὸν] A. δεινὸν vulg. — 859. δέ τι μ' ἢ ποθὲν Cam. δέ τι μοι ποθὲν O et quaedam editt. — παυράκι] A. πολλάκι vulg. — γίνεται] O. Cam. γίγν— vulg.

Οἵ με φίλοι προδιδοῦσι, καὶ οὐκ ἐθέλουσί τι δοῦναι
  ἄστρων φαινομένων· ἀλλ' ἐγὼ αὐτομάτη
ἑσπερίη τ' ἔξειμι καὶ ὀρθρίη αὖθις ἔσειμι,
  ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων.

Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
  ἐσθλόν, ὃς οὔτ' αὐτῷ βέλτερος οὐδὲν ἐὼν
οὔτε φίλοις. ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται·
  αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ.

Ἔν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν,
  χάλκεος, ἀνθρώπων δεῖμα χαμαιγενέων,
εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω οἵ με φιλεῦσι,
  τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.

Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι· οὐδέ σε πάμπαν
  οὔτέ ποτ' ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι.
ἐσθλὸν καὶ κακόν ἐσσι. τίς ἂν σέ γε μωμήσαιτο;
  τίς δ' ἂν ἐπαινήσαι μέτρον ἔχων σοφίης;

Ἥβα μοι, φίλε θυμέ. τάχ' αὖ τινὲς ἄλλοι ἔσονται
  ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

861—864 *Cleobulo* tribuit Hartung. — 862. ἄστρων] Koten. ἀνδρῶν vulg. — 863. αὖτις K. Ald. αὐτῆς O. — 864. φέγγος O. — 865. ὄλβον ἀνδράσιν O*. — 866. οὔτ' αὐτῷ] Bekker. οὔτ' αὐτῶι A. οὔθ' αὐτῷ vulg. οὔθ' αὐτῷ Cam. — Pro οὐδὲν ἐὼν coni. Bergk. οὐδ' ὁτιοῦν vel οὔτε πόλει, Schmidt. ἀδρανέων. Sed librorum scriptura sana videtur. Hominibus nequam sunt divitiae fere pro nihilo, quoniam iis recte uti nesciunt neque pro se neque pro amicis. — 868. σαοῖ] O. Bekker. σάοι vulg. — 869. εἴ K, in O apparet ῞. — πέσει O*. — ὕπερθε K. Cam. — 870. χαμαιγενέων] A. παλαιγενέων vulg. πάλαι γενέων O. — 871. εἰ om. K. O ev. — τοῖσι O. — ἐπαρκέσσω K. — φιλεῦσι] A (sec. Pr.) O. vulg. — 873. αἰνέω sec. Bekker. pr. N. — 874. οὔτέ] O*. — ἀ χθαίρειν (sic) O*. — 875. ἐσθλὸν καὶ κακόν ἐσσι] A. ἐσθλὸν καὶ κακὸν ἐσσὶ O. ἐσθλὸς καὶ κακὸς ἐσσὶ vel κακός ἐσσι vulg. — σέ τε AO. Hartung. — 876. ἐπαινήσαι] Brunck. ἐπαινήσῃ vulg. ἐπαινήση K. ἐπαινήσει O. — 877—878 in editt. ante Brunck. h. l. desunt. — ἥβα μοι] Ahrens. et Bergk. ηβανοι A. ἡβάοῖ O. ἡβάοις Brunck. ἡβώης K. ἡβώοις Bekker. — αὖ τινὲς] A. ἄν τινες O. Brunck. K fort. αὖ τινες. — ἔσοιντο Brunck.

Πῖν' οἶνον, τὸν ἐμοὶ κορυφῆς ὕπο Τηυγέτοιο
ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ' ὁ γέρων
οὔρεος ἐν βήσσῃσι, θεοῖσι φίλος Θεότιμος,
ἐκ Πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων.
τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδώνας,
θωρηχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφρότερος.

Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν, ὄφρα μετ' ἄλλων
κωμάζοιμι. κακοῦ δ' οὐκ ἔραμαι πολέμου.

Μηδὲ λίην κήρυκος ἀν' οὖς ἔχε μακρὰ βοῶντος·
οὐ γὰρ πατρῴας γῆς πέρι μαρνάμεθα.

Ἀλλ' αἰσχρὸν παρεόντα καὶ ὠκυπόδων ἐπιβάντα
ἵππων μὴ πόλεμον δακρυόεντ' ἐσιδεῖν.

Οἴ μοι ἀναλκίης· ἀπὸ μὲν Κήρινθος ὄλωλε,
Ληλάντου δ' ἀγαθὸν κείρεται οἰνόπεδον,
οἱ δ' ἀγαθοὶ φεύγουσι, πόλιν δὲ κακοὶ διέπουσιν.
ὡς δὴ Κυψελιδέων Ζεὺς ὀλέσειε γένος.

Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει αὐτὸς ἐν αὐτῷ,
οὐδ' ἀγνωμοσύνης Κύρν' ὀδυνηρότερον.

879—884 vindicat Hartung. poetae Lacedaemonio. — ἐμῆς ut O ante Brunck. — κορυφῆς ὕπο] Bergk. e coni. Heckeri. κορυφῆς ἀπὸ O. Cam. — ἄπο A. Bekker. Ald. om. praepositionem, alii habent eius loco αἵ. — τηλυγέτοιο O. ταϋγέτοιο Ald. — 882. Πλατανιστοῦντος] Hartung. e coni. Osanni et Bergkii. πλ— vulg. — 883. μελεδώνας] post Cam. Bergk. μελεδῶνας vulg. — 884. θωρηχθὴς A. — ἐλαφροτέρως A. (sec. Pr. —φρότερως.) Bergk. — 885. ἔχει O. Ald. — μετ' αὐλῶν coni. Ahrens. — 887. ἀνιοῦσιν A. — μακρὰν O. — 891—894 Bergk. a Theognide aliena esse censet. Hartungo videtur eorum auctor poeta Eretriensis fuisse, quamquam etiam poeta non ab Eretria oriundus, modo staret a partibus Eretriensium, ita loqui potuerit — ἀναλκείης Bekker. in pr. — Κήρινθος] ut Cam. A. Κήρυνθος vulg. — ὄλωλε] O. vulg. — 894. ὡς δὴ Κυψελιδέων] Bergk. Κυψελιδῶν Herm. ὡς δὴ κυψελίζων A. ὡς κυψελλίζων Vat. 63. ὡς κυψελλίζον vulg. ὡς δὴ κυψελίζον Bekker. — 895. αὐτὸς ἐν αὐτῷ] Bekker. — αὐτῶι A. — αὐτῷ Orelli. Hartung. ἔν γε ἑαυτῷ vulg. — 896. ὀδυνηρότερον] A. ἀνιηρότερον vulg.

Κύρν', εἰ πάντ' ἄνδρεσσι καταθνητοῖς χαλέπαινε
 γινώσκων Ζεὺς νοῦν, οἷον ἕκαστος ἔχει
αὐτὸς ἐνὶ στήθεσσι, καὶ ἔργματα τῶν τε δικαίων
 τῶν τ' ἀδίκων, μέγα κεν πῆμα βροτοῖσιν ἐπῆν.

Ἔστιν ὁ μὲν χείρων, ὁ δ' ἀμείνων ἔργον ἕκαστον·
 οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

Ὅστις ἀνάλωσιν τηρεῖ κατὰ χρήματα θηρῶν,
 κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
εἰ μὲν γὰρ κατιδεῖν βιότου τέλος ἦν, ὁπόσον τις
 ἤμελλ' ἐκτελέσας εἰς Ἀίδαο περᾶν,
εἰκὸς ἂν ἦν, ὃς μὲν πλείω χρόνον αἶσαν ἔμιμνε,
 φείδεσθαι μᾶλλον τοῦτον ὃν εἶχε βίον·
νῦν δ' οὐκ ἔστιν. ὃ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄρωρε,
 καὶ δάκνομαι ψυχήν, καὶ δίχα θυμὸν ἔχω,
ἐν τριόδῳ δ' ἕστηκα. δύ' εἰσὶ πρόσθεν ὁδοί μοι·
 φροντίζω τούτων ἥντιν' ἴω προτέρην·
ἢ μηδὲν δαπανῶν τρύχω βίον ἐν κακότητι,
 ἢ ζώω τερπνῶς ἔργα τελῶν ὀλίγα.

897. Κύρν', εἰ] A. Κύρνε, μὴ vulg. μὴ omisso Κύρνε K. — ἄνδρεσι O*. Κύρνε, μὴ ἀνδράσι πάντα Vinet. Μὴ πάντ' ἀνδράσι, Κύρνε, Brunck. — καταθνητοῖς] vulg. κατὰ θνητοῖς O. θεὸς θνητοῖς Herm. — χαλέπαινε] χαλέπαινεν Herm. χαλεπαίνειν vulg. — 898. γινώσκων] O. Cam. γιγν— vulg. γινώσκειν A. — Ζεὺς] Bergk. ὡς vulg. εὖ Herm. καὶ Hartung. — νοῦσ (σ e corr.?) K. — 899. ἐντὸς K. Bergk. Hartung. — τῶν τε δικαίων] Herm. τῷ τε δικαίῳ Cam. τῷ δὲ δικαίῳ A. Ald. τῶδε δικαίω O. — 900. τῶν τ' ἀδίκων] Herm. τῷ τ' ἀδίκῳ vulg. τῶδ' ἀδίκω O. — βροτ^ς' O*. — ἐπῆν] AO. ἐπῇ vulg. — 901. Sic A, nisi quod pro ἕκαστον, quod Bekkero debetur, habet ἑκάστου. K (omisso ἔστιν) ὁ μὲν χεῖρον ὁ δ' ἄμεινον ἔργον ἑκάστου. O ἔστιν ὁ μὲν χεῖρον ὁ δ' ἄμεινον γ' ἔργον ἑκάστου. Vulgo ἔστι τὸ μὲν χεῖρον, τὸ δ' ἄμεινόν (ἀμεῖνόν Ald.) γ' ἔργον ἑκάστου. — 902. αἰστὸς A, unde Meinek. coni. ἔσθ' ὅς. — 903. τηρῶν coni. Cam. μετρῶν Schneidewin. ῥυθμῶν Bergk. χρήματ' ἀφαιρῶν Heimsoeth. Θήρων scripsit Orelli e coniectura olim a Bergkio proposita. Hartung. tenet Vulgatam posita post τηρεῖ virgula. At καταθηρᾶν nusquam legitur. — 904. συνιει pro συνιεῖσιν A. — 906. περῶν O. — 907. πλεῖον AO. πλείω sec. Pr. A et e ras. K. πλέονος χρόνου Hartung. — ἔμιμνε] AO. vulg. — 908. τοῦτονιν A. τοῦτον, ἵν' Hartung. e coni. Bekkeri. ὃν e ras. K. — 909. ὄρωρε] O. vulg. — 911. δ' om. Ald. — ἕστηκα O*. Cam. — εἰσὶ] O. Ald. εἰσὶ δὲ vulg. εἰσὶν (εἰσι sec. Pr.) το A. δύω τ' ἔμπροσθεν Hartung. — 912. ἴω O*.

εἶδον μὲν γὰρ ἔγωγ', ὃς ἐφείδετο κοὔποτε γαστρί
  σῖτον ἐλευθέριον πλούσιος ὢν ἐδίδου·
ἀλλὰ πρὶν ἐκτελέσαι κατέβη δόμον Ἄϊδος εἴσω,
  χρήματα δ' ἀνθρώπων οὑπιτυχὼν ἔλαβεν,
ὥστ' ἐς ἄκαιρα πονεῖν καὶ μὴ δόμεν ᾧ κ' ἐθέλῃ τις.
  εἶδον δ' ἄλλον, ὃς ᾗ γαστρὶ χαριζόμενος
χρήματα μὲν διέτριψεν, ἔφη δ' „ὑπάγω φρένα τέρψας·"
  πτωχεύει δὲ φίλους πάντας, ὅπου τιν' ἴδῃ.
οὕτω Δημόκλεις κατὰ χρήματ' ἄριστον ἁπάντων
  τὴν δαπάνην θέσθαι καὶ μελέτην ἐχέμεν.
οὔτε γὰρ ἂν προκαμὼν ἄλλῳ κάματον μεταδοίης,
  οὔτ' ἂν πτωχεύων δουλοσύνην τελέοις·
οὐδ' εἰ γῆρας ἵκοιο, τὰ χρήματα πάντ' ἀποδραίη.
  ἐν δὲ τοιῷδε γένει χρήματ' ἄριστον ἔχειν.
ἢν μὲν γὰρ πλουτῇς, πολλοὶ φίλοι, ἢν δὲ πένηαι,
  παῦροι, κοὐκέθ' ὁμῶς αὐτὸς ἀνὴρ ἀγαθός.

Φείδεσθαι μὲν ἄμεινον, ἐπεὶ οὐδὲ θανόντ' ἀποκλαίει
  οὐδείς, ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.

Παύροις ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ·
  ὄλβιος, ὃς τούτων ἀμφοτέρων ἔλαχε.
πάντές μιν τιμῶσιν· ὁμῶς νέοι οἵ τε κατ' αὐτόν
  χώρης εἴκουσιν τοί τε παλαιότεροι.

916. ὃν O*. — 918. οὑπιτυχὼν K et sec. Pr. A. οὔπι— O. οὗπι— Crisp. οὗπι— Cam. — 919. ᾧ κ' ἐθέλῃ] Bergk. ω κε θέλη sec. Pr. A. ὥς κ' ἐθέλη K. — ἐθέλῃ Orelli. ὥσκ^{ε} θέλει O. ὥς κ' ἐθέλοι vulg. ᾧ κ' ἐθέλοι Bekker. in proecdosi. ᾧ κ' ἐθέλησιν Herwerden. Hartungo ὥστε πονῆσαι ἄκαιρα καὶ μὴ δόμεν οἷς ἐθέλησεν scribendum videtur aut post hunc v. lacuna statuenda. — 920. ὃς ᾗ] Turneb. οση A. ὃς ἦν vulg. — 921. μὲν om. K. — ἐφ' ἡδυπάγω K. — 922. ὁποῦ O*. — 923—930 Bekker. a prioribus seiunxit. — ἄριστος K. — 925. καμάτου Cam. — 927. ἵκοιο] AO. ἵκοιτο vulg. — 929. ἢν — πλουτῇς] A. εἰ — πλουτεῖς vulg. — 930. κοὐκέθ'] A. Cam. οὐκέθ' O. Ald. οὐκ ἔθ' Crisp. — ὠὐτὸς Brunck. — 933—934 Hartung. separavit a sequentibus *Soloni* ea tribuens. — 934. ὄλβιος δ' O*. — αμφοτερον A. — ἔλαχε] O. — 935—938 *Tyrtaei* sunt, sed ex tribus distichis contracta. Vid. fr. 12, 37—42. Vett. editt. om. 937—938. — 935. μὲν vett. editt. om O. — νέοι] A. Brunck. ἴσοι vulg. ἶσοι O. — 936. χώρης εἴκουσιν] A. χώροις εἴκουσιν O. εἴκουσι vel εἴκουσιν χώρης vulg. — τοί] A. οἵ vulg.

γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτόν
  βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.

Οὐ δύναμαι φωνῇ λίγ' ἀειδέμεν ὥσπερ ἀηδών·
  καὶ γὰρ τὴν προτέρην νύκτ' ἐπὶ κῶμον ἔβην.
οὐδὲ τὸν αὐλητὴν προφασίζομαι· ἀλλά μ' ἑταῖρος
  ἐκλείπει, σοφίης οὐκ ἐπιδευόμενος.

Ἐγγύθεν αὐλητῆρος ἀείσομαι ὧδε καταστάς
  δεξιός, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.

Εἶμι παρὰ στάθμην ὀρθὴν ὁδόν, οὐδετέρωσε
  κλινόμενος· χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν.

Πατρίδα κοσμήσω, λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμῳ
  τρέψας οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.

Νεβρὸν ὑπὲξ ἐλάφοιο λέων ὣς ἀλκὶ πεποιθώς
  ποσσὶ καταμάρψας αἵματος οὐκ ἔπιον·
τειχέων δ' ὑψηλῶν ἐπιβὰς πόλιν οὐκ ἀλάπαξα·
  ζευξάμενος δ' ἵππους ἅρματος οὐκ ἐπέβην·
πρήξας δ' οὐκ ἔπρηξα, καὶ οὐκ ἐτέλεσσα τελέσσας·
  δρήσας δ' οὐκ ἔδρησ', ἤνυσα δ' οὐκ ἀνύσας.

Δειλοὺς εὖ ἔρδοντι δύω κακά· τῶν τε γὰρ αὐτοῦ
  χηρεύσει πολλῶν, καὶ χάρις οὐδεμία.

937. γηράσκων δ'] Orelli. Hartung. Vulg. om. δ'. — 939. λίγ'] A. λίγυρ' Ald. λιγύρ' vulg. — ἀειδέμεν] Schneidewin. ᾀδέμεν vulg. ἀδέμεν A (sec. Pr.) O. — 940. προτέραν editt. vett. — νύκτα O*. — κῶμο K. — 941. με γῆρυς Emper. Idem vs. seq. ἐπιδευόμενον. — 943—944 Bekker. cum prioribus coniunxit. — 944. θεοῖς AO. — 945—948 videntur *Solonis* esse. — εἶμὶ O*. εἰμὶ Cam. — οὐδ' ἐτέ— A (sec. Pr.) O*. — 947—948 copularunt Hartung. alii cum prioribus. — 949—954 tribuunt Hecker. et Hartung. *Soloni*. Neque huius sunt neque Theognidis. — 949. ὑπ' ἐξ O. editt. ante Bekker. — 951. οὐκ ἐλάπαξα K. ουκελαπαξα O. — 953. κοὐκ O. — 954. οὐκ] Schneider. οὐκ vulg. — 955. δειλοὺς] A. δειλοὺς δ' vulg. — ἔρδοντι K. — αὐτοῦ] AO. Crisp. αὑτοῦ vulg. — 956. χηρεύσει] Brunck. χηρώσει vulg. χήρωσις Stob. — κτεάνων ut Stob. Hartung.

Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας,
  χρῄζων ἡμετέρους αὖθις ἵκοιο δόμους.

Ἔστε μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου,
  ἡδύ τί μοι ἐδόκει καὶ καλὸν εἶμεν ὕδωρ·
νῦν δ' ἤδη τεθόλωται, ὕδωρ δ' ἀναμίσγεται ἰλυῖ.
  ἄλλης δὴ κρήνης πίομαι ἢ ποταμοῦ.

Μή ποτ' ἐπαινήσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνέως,
  ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅστις ἂν ᾖ.
πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες
  κρύπτουσ', ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντως χρόνος ἦθος ἑκάστου.
  καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην·
ἔφθην αἰνήσας πρίν σου κατὰ πάντα δαῆναι
  ἤθεα. νῦν δ' ἤδη νηῦς ἅθ' ἑκὰς διέχω.

Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι;
  πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.

Οὐδεὶς ἀνθρώπων, ὃν πρῶτ' ἐπὶ γαῖα καλύψῃ
  εἴς τ' Ἔρεβος καταβῇ, δώματα Περσεφόνης,
τέρπεται οὔτε λύρης οὔτ' αὐλητῆρος ἀκούων,
  οὔτε Διωνύσου δῶρ' ἐσαειράμενος.

957. ὑπ' Herwerden. — 958. χρῄζων O* et quaedam editt. vett. χρίζων Ald. — αὖθις] AO. Cam. αὖτις vulg. — 959. ἔστε O. — 960. ημεν A. ἔμμεν Herm. Rennero aut hoc probandum videtur aut cum Bergkio scribendum ἡδὺ τέως ἐδ— ἦμιν. — 961. ἰλυῖ] Ahrens. olim, nunc (Beiträge p. 176) ὕλῃ. ὕδει vulg. — 962. δὴ] AO. δὲ vulg. — 963. ἐπαινήσῃς] AO. Brunck. ἐπαινέσῃς (Ald.) vel ἐπαινέσσῃς (Cam.) vulg. — ἴδῃς O. — σαφηνέως] Bergk. —ῶς vulg. — 964. ὄντιν' ἔχει Stob. — 965. ἐπίκλοποι Epkema. ἐπίκλοπος O*. — 967. πάντως] Epkema. πάντων libri, etiam Vat. 63. — 968. ἐγὼν O. — ἔβην om. K. — 969. ἔφθην] A. ἔφθην δ' vulg. — 970. ἤδην K. — νηῦς] A. ναῦς vulg. — ατεκασ A. Fort. νῦν δ' ἐδάην ναῦν τε ἑκὰς —. Hartung. νῦν δ' ἤδη, νηῦν τε πέτρας —. Alii aliter. Cfr.
τ
Bergk. — 973. ὃν πρῶτ' ἐπὶ] A. ὃν ποτ' ἐπὶ O. ὃν ποτ' ἐπὶ K. ὃν ἐπεί ποτε vulg. — καλύψῃ] Turneb. καλύψει libri. — 974. ἔς O. — δώματα] AO. δῶμά τε vulg. — 976. ἐσαειρόμενος Schaefer.

ταῦτ' ἐσορῶν κραδίην εὖ πείσομαι, ὄφρ' ἔτ' ἐλαφρά
  γούνατα καὶ κεφαλὴν ἀτρεμέως προφέρω.

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ·
  χερσίν τε σπεύδοι χρήμασί τ', ἀμφότερα·
μηδὲ παρὰ κρητῆρι λόγοισιν ἐμὴν φρένα θέλγοι,
  ἀλλ' ἔρδων φαίνοιτ', εἴ τι δύναιτ', ἀγαθόν.

Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν,
  ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.
αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸς ἥβη·
  οὐδ' ἵππων ὁρμὴ γίνεται ὠκυτέρη,
αἵτε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
  λάβρως, πυροφόρῳ τερπόμεναι πεδίῳ.

Πῖν' ὁπόταν πίνωσιν. ὅταν δέ τι θυμὸν ἀσηθῇς,
  μηδεὶς ἀνθρώπων γνῷ σε βαρυνόμενον.

Ἄλλοτέ τοι πάσχων ἀνιήσεαι, ἄλλοτε δ' ἔρδων
  χαιρήσεις· δύναται δ' ἄλλοτε ἄλλος ἀνήρ.

Εἴ θείης Ἀκάδημε ἐφίμερον ὕμνον ἀείδειν,
  ἆθλον δ' ἐν μέσσῳ παῖς καλὸν ἄνθος ἔχων

977. κραδίην] ut Cam. A. κραδίη O. Ald. κραδίῃ vulg. — ὄφρ' ἔτ'] coni. Schneidewin. ὄφρα τ' vulg. — 978. ἀτρεμέως] AO. ἀτρομέων vulg. — Ultima vox in O singulari modo scripta est, sed librarius videtur voluisse προφέρω. — 980. χερσί O. — σπεύδου A. Bergk. σπεύδει O. — 981. κρητῆρι] Bekker. κλητῆρι A. κρατῆρσι O. κρητῆρσι vulg. — θέλγοι] Bekker. θέλγοις A. Bergk. τέρποι vulg. — 982. ἔρδων O. — φαίνοι' — δύναι' A e ras. Bergk. — 983. θαλίεσσι A. θαλίαισι O. — 986. γίνεται] O. Cam. γίγν— vulg. In A 985. 86 omissi sunt. — 987. αἵτε ἄνακτα φέρουσι] A. αἵτ' ἀναφέρουσι O. αἵτε περ ἄνδρα φ. vulg. — δορυσσόου K. — ἀμ coni. Renner. — ἀνδρός O. — 989. ὅταν δέ τι] Brunck. οταν δ' ἔτι A. ὁτάν τοι O. — 991. ἄλλ' ὅτε A. — ἀνιήσεται O. — ἄλλοτε δ' ἔρδων] A. ἄλλοτέ θ' ἔρδων O. vulg. ἄλλοτέ τ' ἔρ— Brunck. — 992. χαιρήσεις· δύναται δ' ἄλλοτε] Bergk. χαιρήσεις. δύναται ἄλλοτε Bekker. χαιρῆισι δύναται ἄλλοτε δ' A. χαιρήσειν δύναι ἄλλοτε τ' O. χαιρήσειν δύνασαι, ἄλλοτέ τ' vulg. (Cam. sine τ'.) — Ahrens. (ut Brunck.) distichon prioribus annexuit. — 993—996 Hartung. a Theognide abiudicat. Bergkio videntur *Polymnesti Colophonii* esse. — εἴθ' εἴη σ' Cam. εἴθ' εἴη σ' Turneb. Brunck. — ἐφήμερον AO. Cam. — 994. μέσω π. κακὸν O.

σοί τ' εἴη καὶ ἐμοὶ σοφίης πέρι δηρισάντοιν,
γνοίης χ' ὅσσον ὄνων κρέσσονες ἡμίονοι.

Τῆμος δ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
ἄρτι παραγγέλλοι μέσσατον ἦμαρ ἔχων,
δεῖπνον δῆτ' ἀλέγοιμεν, ὅπου τινὰ θυμὸς ἀνώγοι,
παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.
χέρνιβα δ' αἶψα θύραζε φέροι, στεφανώματα δ' εἴσω
εὐειδὴς ῥαδιναῖς χερσὶ Λάκαινα κόρη.

Ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ σοφῷ.
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ.

Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρά τις ἥβης
ἀγλαὸν ἄνθος ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῇ,
τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν· οὐ γὰρ ἀνηβᾶν
δὶς πέλεται πρὸς θεῶν οὐδὲ λύσις θανάτου
θνητοῖς ἀνθρώποισι. κακὸν δ' ἐπὶ γῆρας ἐλέγχει
οὐλόμενον, κεφαλῆς δ' ἅπτεται ἀκροτάτης.

995. δηρησάντοιν Vinet. Cam. δηρισάντων A sec. Bekker., —τοιν sec. H. δηρησάντων O. — 996. τ' pro χ' A. θ' O. — ὄνου O. — 997. τῆμος] AO. Bergk. ἦμος vulg. — μέσῳ αἰθέρι Emper. et Hartung. — 998. παραγγέλοι AO. Ald. παραγγέλλει Crisp. — 999. δεῖπνον δῆτ' ἀλέγοιμεν] δείπνου δῆτ' ἀλέγοιμεν vir doctus apud Schneidewin. δείπνου δὴ λήγοιμεν vulg. δὲ pro δὴ AO. τε Ald. — Pro ὅπου malim ὅσον. — ἀνώγοι] A. Brunck. ἀνώγει vulg. — 1001. φέρι Ald. φέρει O. — δήσοι pro δ' εἴσω O. Ald., haec praeterea στεφανώμεθα. — 1002. ῥαδινῆς Athen. — Welckero videtur festivus aliquis homo quae ab origine scripta fuerint addito ex carmine convivali disticho in contrarium convertisse. Poetam incepisse δείπνου δὴ μνησαίμεθ', ὅσου — deinde hortatum esse ad laborem denuo capessendum. Cfr. Bergk. — 1003—1006 *Tyrtaei* sunt, vid. Eleg. 12, 13—16. — 1004. γίνεται] O. γίγν— vulg. — 1005. πολῖηΐ — τε τῷ δ— O*. — 1006. προμάχοισι μένῃ] Cam. πρ. μένει A. μένοι Crisp. προμάχοισιν ἔνι K. vulg. π—χαισιν ἔνι O. — 1007. ὄφρά] ὅφρά O*. — 1008. ἔχῃ e ras. K. — 1009. αὐτοῦ Crisp. alii. — ἂν ἡβᾶν O. — 1011. ἐπείγει Brunck. e coni. Piersoni. ἐλαύνει, quod coniecerat Schneidewin., Hartung. Fort. κ. δέ τε γ. ἔπεισιν, vel δ' ἐπὶ γ. ἱκάνει. — 1012. δ' om. O.

Ἆ μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅστις ἄπειρος
  ἄθλων εἰς Ἀίδεω δῶμα μέλαν καταβῇ,
πρίν γ' ἐχθροὺς πτῆξαι καὶ ὑπερβῆναί περ ἀνάγκῃ,
  ἐξετάσαι τε φίλους, ὅντιν' ἔχουσι νόον.

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
  πτοιῶμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης
τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι.
  ἀλλ' ὀλιγοχρόνιον γίνεται ὥσπερ ὄναρ
ἥβη τιμήεσσα· τὸ δ' οὐλόμενον καὶ ἄμορφον
  αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται.

Οὔ ποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
  δύσλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρῃ.

Δειλοί τοι κακότητι ματαιότεροι νόον εἰσί,
  τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηιδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος·
  τοῦ δ' ἀγαθοῦ χαλεπὴ Κύρνε πέλει παλάμη.

Τόλμα θυμὲ κακοῖσιν ὅμως ἄτλητα πεπονθώς·
  δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη.
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
  ὄχθει, μηδ' ἄχθου, μηδὲ φίλους ἀνία,
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
  οὐκ ἂν ῥηιδίως θνητὸς ἀνὴρ προφύγοι,

1013. ἆ] A. ὡς vulg. — 1014. Ἀίδεω] Bekker. αιδου A. ἄδου O. Et sic aut ᾄδου vulg. — καταβῇ] O. κατέβη vulg. — 1015. πρίν γ'] Bekker. πρίν τ' libri. — γε pro περ K. ὑποδμηθῆναι ἀνάγκῃ Hartung. — 1016. δὲ A. — 1017—1022 *Mimnermi* sunt, vid. fr. 5. Hartung. ei vindicat 1007—1024. — 1018. πτοιῶμαι] A. πτοιοῦμαι vulg. — εἰσορῶν A. εἰσορόων — ὁμιλίης O. — 1019. ἐπὶ Ald. — ὤφειλεν AO*. Ald. — 1020. ὀλιγοχρόνιος O. — γίνεται] O. Cam. γίγν— vulg. — 1023. ὑποζύγιον A. — 1025. δειλοί] A. δειλοῖς vulg. — νόον] A. νόοι O. Cam. γόοι Ald. — εἰσί] O. vulg. — 1027. τε pro τοι Ald. — 1028. πέλει κύρνε O*. — 1029. ὁμῶς O*. Cam. — 1030. γίνεται] O. Cam. γίγν— vulg. — 1031. σύ τ' AO. — 1032. ὄχθει] Emper. et Bergk. ἔχθει vulg. ἔχθη (e ras. ε, an Θη?) K. — ἄχθει O. ἔχθει A. ἄχθεο, μηδ' ἄχθει μήτε — μήτ' praeeunte Geelio Heimsoeth. — 1033. ευφρηνε A. ἔχθρηνε O. — θέλων A sec. M. — 1034. ῥηΐδιος A.

οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
 οὐθ' ὅταν αὐτὸν ἔχῃ Τάρταρος ἠερόεις.

Ἄνδρά τοί ἐστ' ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι,
 ὡς ἐν ἐμοὶ γνώμη Κύρνε πάλαι κέκριται.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτινες οἶνον
 μὴ πίνουσ' ἄστρου καὶ κυνὸς ἀρχομένου.

Δεῦρο σὺν αὐλητῆρι· παρὰ κλαίοντι γελῶντες
 πίνωμεν, κείνου κήδεσι τερπόμενοι.

Εὕδωμεν. φυλακὴ δὲ πόλεος φυλάκεσσι μελήσει
 ἀστυφέλης ἐρατῆς πατρίδος ἡμετέρης.

Ναὶ μὰ Δί', εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει,
 ἡμέτερον κῶμον δέξεται ἁρπαλέως.

Νῦν μὲν πίνοντες τερπώμεθα, καλὰ λέγοντες·
 ἅσσα δ' ἔπειτ' ἔσται, ταῦτα θεοῖσι μέλει.

Σοὶ δ' ἐγὼ οἷά τε παιδὶ πατὴρ ὑποθήσομαι αὐτός
 ἐσθλά· σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλευ·
μή ποτ' ἐπειγόμενος πρήξῃς κακόν, ἀλλὰ βαθείῃ
 σῇ φρενὶ βούλευσαι σῷ τ' ἀγαθόν τι νόῳ.

1035. οὐκ ἂν — καδδὺς (hoc e ras.) K., qui mihi etiam ἐς πυθμένα videbatur habere e corr. — 1037. ἄνδρα τοι ἔστ' K. Cam. ἄνδρά τοι ἔστ' Crisp. — 1038. ἐν ἐμοὶ γνώμη] A. ἐν ἐμοὶ γνώμῃ Cam. ἐν ἐμῇ γνώμῃ vulg. ἐν ἐμῇ (η e ras.?) γνώμη K. — 1039. οἱ ἄνθρωποι K. — 1040. ἐρχομένου O. — 1041. Colon post αὐλητῆρι posuit Bergk. — 1043. πόλεος] Renner. πόλεως A. πόλευς vulg. — 1044. ἀστυφελὴς O. ἀστυφελῆς Cam. ἆ στυφελῆς alii. ἀστεμφής Schmidt. Cfr. Bergk. — ἐραστῆς K. ἐραστὴς O. — 1045. ναὶ om. K. — τόνδε AO. — 1049. σοὶ δ' ἐγὼ] Bergk. σοὶ δέ τω A. σοὶ δέ τοι Bekker. σοὶ δὲ K. Ald. σοὶ δ' αὖ Cam. σοὶ δὴ Brunck. σῦ δὲ O. — οιᾶτε A. — πατὴρ] A. φίλῳ vulg. om. O. — 1050. βάλευ] A. βάλε vulg. — 1051—1054 coniunxit Bergk. cum prioribus. — 1051—1052. πράξῃς AO. — βαθείης A. βαθείης ἐν φρεσὶ Hartung. — βουλεῦσαι O. — σῷ τ' ἀγαθόν τι νόῳ] Bergk. cum Ahrensio. σῷ (σω τ' A.) ἀγαθῷ τε νόῳ vulg., omisso νόῳ K. τέκνῳ pro τε νόῳ O. σαῖς ἀγανῷ τε νόῳ Hartung.

τῶν γὰρ μαινομένων πέτεται θυμός τε νόος τε,
  βουλὴ δ' εἰς ἀγαθὸν καὶ νόος ἐσθλὸς ἄγει.

Ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν, αὐτὰρ ἐμοὶ σύ
  αὔλει, καὶ Μουσῶν μνησόμεθ' ἀμφότεροι.
αὗται γὰρ τάδ' ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα
  σοὶ καὶ ἐμοὶ καὶ μὴν ἀμφιπερικτίοσι.

Τιμαγόρα, πολλῶν ὀργὴν ἀπάτερθεν ὁρῶντι
  γινώσκειν χαλεπόν, καίπερ ἐόντι σοφῷ.
οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσι
  πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

Ἐν δ' ἥβῃ πάρα μὲν ξὺν ὁμήλικι πάννυχον εὕδειν,
  ἱμερτῶν ἔργων ἐξ ἔρον ἱέμενον,
ἔστι δὲ κωμάζοντα μετ' αὐλητῆρος ἀείδειν.
  τούτων οὐδὲν ἄρ' ἦν ἄλλ' ἔτι τερπνότερον
ἀνδράσιν ἠδὲ γυναιξί. τί μοι πλοῦτός τε καὶ αἰδώς;
  τερπωλὴ νικᾷ πάντα σὺν εὐφροσύνῃ.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτε θανόντας
  κλαίουσ', οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.

1053. μαινομένων πέτεται] A. Prius coniecerat Brunck. μαρναμένων μάχεται vulg. — 1054. σ' pro δ' O. — νόος ἐσθλὸς] Hartung. νόον ἐσθλὸν vulg. — 1055—1058 *Mimnermi* esse videntur Bergkio et Hartungo. — ἐάσομαι O*. — ἐμοί συ A. — 1057. αὐταὶ Cam. — 1058. καὶ μὴν] Crisp. Sylb. μὴν καὶ Ald. μενδ' A. νῦν O. Post ἐμοὶ lac. Cam., post ἐμοὶ μὴν Vat. 63. μέλπειν scripsit Hartung. μελέμεν δ' coni. Ahrens. μεταδοῦν δ' Schmidt. Ναννοῖ Bergk. — ἀμφιπερικτίοσι] Vinet. (?) Hertel. ἀμφ—κτίοσιν A. Bekker. ἀμφ—κτύοσι Cam. Crisp. —κτύοσιν Ald. —κατίοσι O. κ' ἀμφ—κτύοσι Sylb. κἀμφ—κτίοσιν Bergk. in notis. — 1059. Τιμαγόρα, πολλῶν] Cam. τιμαγαραπόλλων A. τιμᾶ γαρ ἀπόλλων O. τιμᾶ γὰρ ἀπόλων K. τιμᾷ γὰρ ἀπόλλων Ald. — 1060. γινώσκειν] O. Cam. γιγν— vulg. — 1061. οἳ A. — ἔχουσι] O. vulg. — 1063—1068 et 1069—1070 *Mimnermi* videntur. — 1063. πάρα μὲν ξὺν ὁμήλικι] Bekker. παρὰ μὲν ξυνομήλικι vulg. — ξυν ομήλικι O*. παρα μὲν ξυνομήλικι A. παρὰ μὲν συνομήλικι Brunck. — πάννυχον] A. κάλλιον vulg. κάλλι^ς O. κάλλισθ e ras. K. — 1064. ἐξέρου O. ἵμερον Cam. — ἱέμενος O. — 1066. ἄρ' ἦν] e coni. Bergk. τοι vulg. τι O. — ἀλλ' K. Cam. — ἔτι] coni. Bergk. ἔπι Turneb. ἐπιτερπνότερον vulg. De O ambigo, utrum librarius scripserit ἄλλ' ἐπιτ—, an ἄλλ ἔπιτ—. τούτων ουδεν· ἀλλ' ἐπιτ— A. τούτων δ' οὐδεὶς οἶδ' ἄλλο τι τερπνότερον Hartung. — 1068. πάντας K et fort. etiam O. — 1070. ἀπολλόμενον O.

Κύρνε, φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος
  συμμίσγων ὀργὴν οἷος ἕκαστος ἔφυ.
νῦν μὲν τῷδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος πέλευ ὀργήν·
  κρέσσων τοι σοφίη καὶ μεγάλης ἀρετῆς.

Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν
  γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι.
ὄρφνη γὰρ τέταται· πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι
  οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.

Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
  οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
  ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος.

Οὕτω χρὴ τόν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα
  ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.

Δημῶναξ, σοὶ πολλὰ φέρειν βαρύ· οὐ γὰρ ἐπίστῃ
  τοῦθ' ἔρδειν, ὅ τι σοι μὴ καταθύμιον ᾖ.

Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ
  ναίετ' ἐπ' Εὐρώτα καλλιρόῳ ποταμῷ,
εἴ ποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι·
  εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

1073. τοδ' A. τόδ' Cam. — τότε AO*. ποτὲ Cam. alii. — 1074. κρέσσων] κρείσσων O. κρεῖσσόν vulg. — 1077. ὀρφνὴ O et vulg. (Crisp. ὄρφνη) ante Bekker. — 1078. θνητοῖς] AO. θνητῆς vulg. — 1080. οὐδέ μεν O. Cam. — 1081—1082 om. vett. editt. — τέκοι AO. — 1083. οὔτοι — ἐπιστρέψαι τὸ νόημα, ἔμπεδον αἰὲν ἔχειν δ' ἐς — Hartung. Bergkio videntur duo disticha in unum coaluisse, quorum utrumque certam in amicitia fidem commendaverit: prioris initium fuisse οὔτοι χρὴ —, alterum incepisse fortasse ab οὕτω et huc pertinere pentametrum. — 1085. Δημῶναξ, σοὶ πολλὰ φέρειν βαρύ] Welcker. Δ., σὺ δὲ πολλὰ φέρεις βαρύ Bergk. δήμων ἀξιοῖ δὲ π. φέρειν βαρὺ A sec. Bekker. δημωναξιοῖδε sec. H. δημωναξιοιδε sec. M. δῆμον δ' ἀξιοῖ π. φέρειν βαρὺς O. Ald. δῆμον δα . . . π. φ. βαρὺς Cam. δεῖ μέν σ' ἄξια π. φ. βαρέ' Brunck. — 1086. ὅτι σοὶ O*. Cam. — 1087—90 Hartung. *Chiloni* vindicat. — 1090. ἔχει O*.

Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·
  οὔτε γὰρ ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι,
γινώσκων χαλεπὸν μέν, ὅταν φίλος ἀνδρὶ γένηται,
  ἐχθαίρειν, χαλεπὸν δ' οὐκ ἐθέλοντα φιλεῖν.

Σκέπτεο δὴ νῦν ἄλλον· ἐμοί γε μὲν οὔτις ἀνάγκη
  τοῦθ' ἔρδειν. τῶν μοι πρόσθε χάριν τίθεσο.

Ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι ὥστε πετεινόν
  ἐκ λίμνης μεγάλης, ἄνδρα κακὸν προφυγών,
βρόχον ἀπορρήξας. σὺ δ' ἐμῆς φιλότητος ἁμαρτών
  ὕστερον ἡμετέρην γνώσῃ ἐπιφροσύνην.

Ὅστίς σοι βούλευσεν ἐμεῦ πέρι, καί σ' ἐκέλευσεν
  οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην.

Ὕβρις καὶ Μάγνητας ἀπώλεσε καὶ Κολοφῶνα
  καὶ Σμύρνην. πάντως Κύρνε καὶ ὔμμ' ἀπολεῖ.

Εἰς βάσανον δ' ἐλθὼν παρατριβόμενός τε μολίβδῳ
  χρυσὸς ἄπεφθος ἐὼν καλὸς ἅπασιν ἔσῃ.

Ὤ μοι ἐγὼ δειλός· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,
  τοῖς δὲ φίλοισι πόνος δεινὰ παθὼν γενόμην.

Κύρν', οἵ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἵ δὲ κακοὶ πρίν
  νῦν ἀγαθοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,
τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
  τιμῆς; μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.

1093. γινώσκων] O. Cam. γινώσκω A. γιγ—κων vulg. — 1095—96 Bergk. a praegressis separavit. Welcker. coniunxit 1095—1100. — 1095. σκέπται K. σκέπτε O. — ἀνάσσει K. — 1096. τῶ K. O ev. — 1098. λόχμης coni. Hermann. λόχμης μεσάτης Haupt. — 1099. βρόχον] AO. Brunck. βρόγχον vulg. βρόκχον Bergk. Cfr. Welcker. — Post 1100 Bergk. lacunam aliquot versuum statuit. Cfr. Cam. Alii coniungunt 1101—1102 cum prioribus, Boissonad. proponens χὤστις. — 1104. ὔμμ' ἀπολεῖ] A sec. Bekker., υμμ' απολεῖ sec. M. ὕμμας ὀλεῖ O. ὕμμας (ὔμμας?) ὄλει K. ὕμμας (Ald.) vel ὕμμας (Cam.) ὀλεῖ vulg. — 1106. ἄπευθος O*. — 1107. ὤμοι] O. οἴμοι A et vulg. — 1108. φίλοισ ὁ πόνοσ A. — δεινὰ] Cam. δειλὰ libri.

ἀλλήλους δ᾽ ἀπατῶντες ἐπ᾽ ἀλλήλοισι γελῶσιν,
  οὔτ᾽ ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

Χρήματ᾽ ἔχων πενίην μοι ὀνείδισας. ἀλλὰ τὰ μέν μοι
  ἔστι, τὰ δ᾽ ἐργάσομαι θεοῖσιν ἐπευξάμενος.

Πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων,
  σὺν σοὶ καὶ κακὸς ὢν γίνεται ἐσθλὸς ἀνήρ.

Ἥβης μέτρον ἔχοιμι, φιλοῖ δέ με Φοῖβος Ἀπόλλων
  Λητοΐδης καὶ Ζεύς, ἀθανάτων βασιλεύς,
ὄφρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων,
  ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος.

Μή με κακῶν μίμνησκε. πέπονθά τοι οἷά τ᾽ Ὀδυσσεύς,
  ὅστ᾽ Ἀίδεω μέγα δῶμ᾽ ἤλυθεν ἐξαναδύς,
ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλέι θυμῷ
  Πηνελόπης ἔμφρων, κουριδίης ἀλόχου,
ἥ μιν δήθ᾽ ὑπέμεινε φίλῳ παρὰ παιδὶ μένουσα,
  ὄφρ᾽ Ἰθάκης ἐπέβη δαιδαλέου τε λέχους.

Ἐμπίομαι, πενίης θυμοφθόρου οὐ μελεδαίνων,
  οὐδ᾽ ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς.

Ἀλλ᾽ ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ᾽ ἐπιλείπει,
  κλαίω δ᾽ ἀργαλέον γῆρας ἐπερχόμενον.

1115. μοι ὀνείδισας] Bergk. et Emper. μ᾽ ὠνείδισας vulg. — τεμεμοι A. τὰ μέντοι O. — 1116. ἐστὶ O. Hertel. — 1118. καὶ om. K. — γίνεται] AO. γίγνομαι vulg. γίν— Cam. — 1119. φιλεῖ Ald. — φίλος pro Φοῖβος O*. — 1120. Λητοΐδης] O. vulg. Λητοίδης A. — 1121. δίκηι pro βίον A. δίκῃ Orelli. Hartung. — 1123. μίμνησκε] Turneb. μίμνησκ᾽ επε— A. μέμνησθε vulg. — 1124. Ἀίδεω] Bekker. αιδεω A. ἀίδου vulg. — ἐλήλυθεν K. — 1125. ἀνείλατο A. — θυμῷ] Bekker. θυμῶι A. χαλκῷ vulg. — 1126. ευφρων A. — 1127. ἥ μιν] A. ἡ vel ἣ μὲν vulg. — δήθ᾽] A. vulg. δῆθ᾽ O. Brunck. et A sec. M. — παρὰ] A. πρὸς vulg. — 1128. ὄφρ᾽ Ἰθάκης] Wassenberg. ὄφρα (ὄφρά Crisp.) τε γῆς vulg. — δαιδαλέου τε λέχους] conii. Haupt. et Bergk. δειμαλέους τε (γε O. Cam.) μυχοὺς vulg. δειλαλεουσ τε μυχουσ A. δαιδαλέου τε μυχοῦ Wassenberg. Cfr. Od. ψ, 199. — 1129—1132 Bekker. in duas diremit particulas. — 1129. ἐμπίομαι] A. εἰ πίομαι vulg. ἐλπίομαι O*. — μελεδαίνων] A. —νω vulg.

Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν,
ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ.

Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν,
ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν.
ᾤχετο μὲν Πίστις, μεγάλη θεός, ᾤχετο δ' ἀνδρῶν
Σωφροσύνη· Χάριτές τ' ὦ φίλε γῆν ἔλιπον.
ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιται, οὐδὲ θέμιστας
οὐκέτι γινώσκουσ' οὐδὲ μὲν εὐσεβίας.
ὄφρα δέ τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
εὐσεβέων περὶ θεοὺς Ἐλπίδα προσμενέτω,
εὐχέσθω δὲ θεοῖσι κατ' ἀγλαὰ μηρία καίων,
Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων οὐδὲν ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
αἰσχρὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.

Μή ποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Εἴη μοι πλουτεῦντι κακῶν ἀπάτερθε μεριμνέων
ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.

1133. Κύρν', ἀποροῦσι Hartung. e coni. Sauppii. Κύρνε, πονοῦσι O. Schneider. — 1135. ἀνθρώποις μούνη Bergk. — ἔνεστι A. ἔτ' ἐστίν Sintenis et Hartung. — 1136. Οὔλυμπόνδ'] Cam. οὔλυμπον codd. et Ald. — 1139. οὐκ ἔτι Hertel. alii. — ἀνθρώποις ἀδίκοισιν Leutsch. ἀνδράσιν οὐδ' ἀκέραιοι Schmidt. — 1141. ἔφθιται] Schaefer. ἔφθιτο vulg. — 1142. οὐκ ἔτι ut 1139. (Sylb. hic οὐκέτι.) — γινώσκουσ'] O*. Cam. γιγν— vulg. — οὐδέ μεν O*. Cam. — εὐσεβιας (ει) O*. — 1143. ὄφρα δέ τις] Leutsch. ἀλλ' ὄφρα (ὄφρά O) τις vulg. — ζώει] A. ζώοι O. ζώῃ vulg. ἀλλ' ὄφρα ζώει Herm. — φῶς A. — 1145. εὐχόμενος δὲ Brunck. —ός τε Bergk. — κατ'] Schaefer. καὶ vulg. — 1146. τιθέτω O. — 1148. οὐδὲν] A. μηδὲν vulg. — 1150. ἐσθλὰ Bergk. e coni. Emper. — 1152. Cfr. 1262. — 1153. πλουτεῦντι] Brunck. πλουτοῦντι AO. et vulg. πλουτεῖν K. — μεριμνέων] A. μερίμνων K. μεριμν(ων) O. μεριμνῶν vulg.

Οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη
  ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί·
  οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις,
ὣς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
  ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται τελέσαι.

Οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω
  αἰδοῦς, ἣν ἀγαθοῖς ἀνδράσι Κύρνε δίδως.

Ὀφθαλμοὶ καὶ γλῶσσα καὶ οὔατα καὶ νόος ἀνδρῶν
  ἐν μέσσῳ στηθέων ἐν συνετοῖς φύεται.

Τοῖς ἀγαθοῖς σύμμισγε, κακοῖσι δὲ μή ποθ' ὁμάρτει,
  εὖτ' ἂν ὁδοῦ τελέῃς τέρματ' ἐπ' ἐμπορίην.

Τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα·
  τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.

Ἐκ καχεταιρίης κακὰ γίνεται. εὖ δὲ καὶ αὐτός
  γνώσῃ, ἐπεὶ μεγάλους ἤλιτες ἀθανάτους.

Γνώμην Κύρνε θεοὶ θνητοῖσι διδοῦσιν ἄριστον
  ἀνθρώποις· γνώμη πείρατα παντὸς ἔχει.

1155. οὔτ' — οὔτ' editt. ante Brunck. — 1157—1158 e Stobaeo primus hic inseruit Vinet., Theognidis codd. eos omittunt. — 1160. κορέσαι Hartung. e Stob. — 1161. 62. Ita hoc distichon tradidit Stob. In pentametro videtur latere vitium. Οὐδένα θ. καταθήσειν παισὶν ἄμεινον· αἰτοῦσιν δ' ἀγαθοῖς — δίδου vulg. — παισὶν καταθήσειν A. — αἰτοῦσι O. Cam. — Welcker., cui assentitur Hartung., tenet vulgatam, referens eam inter parodias. — 1163. γλῶσσαι K et fort. etiam O. — 1164. στηθέων] A. στηθῶν vulg. — εν συνετοισ A. εὐξύνετος Stob., unde Hartung. εὐξυνετοῖς. εὐξυνέτοις coniecerat Bergk., εὐσυνετοῖς Geel. — 1166. ὁδοὺσ A. — τελεῆι A. τελέσις O. τρέψῃς Kenner. στέλλῃ Hartung. — τέρματ' ἐπ' ἐμπορίην] Bekker. τέρματ' ἐπεμπορίην A. τέρματά τ' ἐμπορίης vulg. στέλλῃ τέρμα τ' ἔπ' ἐμπορίης coni. Bergk. — 1167. δέ τ' Cam. ἐσθλά δ' O*. — 1169. καχεταιρίης] Bekker. καχετερίης A. καχεταιρείης vulg. — γίνεται] O. Cam. γίγν— vulg. — 1170. μεγάλως Cam. μέγα θεοὺς ut Bergk. in proecdosi Hartung. — 1171. ἄριστον] Bergk. e coni. Bekkeri. ἀρίστην vulg. — 1172. ἀνθρώποις] Bergk. ἄνθρωπος AO. ἀνθρώπου vulg. Interpunctionem mutavit Bergk. Vulgo interpungitur post ἀρίστην.

ὦ μάκαρ, ὅστις δή μιν ἔχει φρεσίν, ἦ πολὺ κρέσσων
  ὕβριος οὐλομένης λευγαλέου τε κόρου.
[ἔστι κακὸν δὲ βροτοῖσι κόρος, τῶν οὔτι κάκιον·
  πᾶσα γὰρ ἐκ τούτων Κύρνε πέλει κακότης.]

Εἰ δ' εἴης ἔργων αἰσχρῶν ἀπαθὴς καὶ ἀεργός,
  Κύρνε, μεγίστης κεν πείρατ' ἔχοις ἀρετῆς.

Κύρνε, θεοὺς αἰδοῦ καὶ δείδιθι· τοῦτο γὰρ ἄνδρα
  εἴργει μήθ' ἔρδειν μήτε λέγειν ἀσεβῆ.

Δημοφάγον δὲ τύραννον, ὅπως ἐθέλεις, κατακλῖναι
  οὐ νέμεσις πρὸς θεῶν γίνεται οὐδεμία.

Νοῦς ἀγαθὸν καὶ γλῶσσα· τὰ δ' ἐν παύροισι πέφυκεν
  ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Οὐδένα Κύρν' αὐγαὶ φαεσιμβρότου ἠελίοιο
  ἄνδρ' ἐφορῶσ', ᾧ μὴ μῶμος ἐπικρέμαται.

Οὔτις ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρεῖαν
  δυστυχίην, εἰ μὴ μοῖρ' ἐπὶ τέρμα βάλοι.
οὐδ' ἂν δυσφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμποι,
  θνητὸς ἀνὴρ δώροις βουλόμενος προφύγοι.

1173. ὢ] O. ὦ vulg. — μάκαροσ τισ δὴμῖν A sec. M., δ' ἥμιν sec. Pr. μάκαρος· τίς δ' ἡμῖν O. δ' ἡμῖν etiam Ald. — φρέσ' K. φρε σΐ O. — ἦ] Herm. ἢ A. vulg. ἐπεὶ O. — κρέσσων] κρείσσων vulg. — 1174. οὐλόμενος O*. — 1175. 76. Herwerden. cancellis circumsaepsit. Bekker. posuit punctum post ἔστι. Vett. edd. interpungunt post κόρου, tum pergunt ἔστι κακὸν δὲ —. κακῶνδε superscr. όν O*. — τούτου Cam. — 1177. εἰ δ'] Hartung. εἴθ' vulg. εἴ κ' AO. οὐκ K. εἴ κ' εἴης Bergk. Cfr. 821. — 1178. μεγίστης κεν πείρατ'] Hartung. e coni. Heckeri. μεγίστην κεν πεῖραν vulg. — ἔχης superscr. ει O*. — 1180. μήτ' ἔρδειν K. Brunck. — 1181. δὲ om. O. — ἐθέλης K. ἐθέλῃς Hartung. ἐθελ'' O. — 1182. γίνεται] O. Cam. γίγν— vulg. — 1183. ἀγαθὸν] A. ἀγαθὸς vulg. — τὰ δ' ἐν] Crispin. τάδ' ἐν Turneb. τάτ' ἐν vulg. ταῦτ' ἐν O. Ald. — 1185—1186 om. vett. editt., post 1182 ponunt AO. Tum sequuntur 367. 68. 1183. 84. — 1187. φύγη O*. — 1188. δυστυχίην] A. —χίαν vulg. — 1189. πέμποι] Bergk. πέμπη A. πέμπει vulg. — 1190. βούλομαι O*. ὀυλόμενος A sec. M. οὐλομένας Hartung. e coni. Matthiae. — προφύγοι] Cam. προφύγηι A. προφυγεῖν vulg. προσφυγέειν K.

Οὐκ ἔραμαι κλισμῷ βασιληΐῳ ἐγκατακεῖσθαι
τεθνεώς, ἀλλά τί μοι ζῶντι γένοιτ' ἀγαθόν.
ἀσπάλαθοι δὲ τάπησιν ὁμοῖον στρῶμα θανόντι·
τὸ ξύλον ἢ σκληρὸν γίνεται ἢ μαλακόν.

Μήτι θεοὺς ἐπίορκον ἐπόμνυθι· οὐ γὰρ ἀνυστόν
ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.

Ὄρνιθος φωνὴν Πολυπαΐδη ὀξὺ βοώσης
ἤκουσ', ἥτε βροτοῖς ἄγγελος ἦλθ' ἀρότου
ὡραίου· καί μοι κραδίην ἐπάταξε μέλαιναν,
ὅττί μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς,
οὐδέ μοι ἡμίονοι κύφων' ἕλκουσιν ἀρότρου,
τῆς ἄλλης μνηστῆς εἵνεκα ναυτιλίης.

Οὐκ εἶμ', οὐδ' ὑπ' ἐμοῦ κεκλήσεται, οὐδ' ἐπὶ τύμβῳ
οἰμωχθεὶς ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ.
οὐδ' ἂν ἐκεῖνος ἐμοῦ τεθνηότος οὔτ' ἀνιῷτο
οὔτε κατὰ βλεφάρων δάκρυα θερμὰ βάλοι.

Οὔτέ σε κωμάζειν ἀπερύκομεν οὔτε καλοῦμεν·
ἀρπαλέος παρεών, καὶ φίλος, εὖτ' ἂν ἀπῇς.

1193. δὲ] A. γε Brunck. om. O et vulg. — ομοιον A. ὅμοιον O. Cam. — 1194. το ξύλον· ἠσκηρον A sec. M. — γίνεται] O. Cam. γίγν— vulg. — ἢ — ἢ fort. hic idem valet quod εἴτε — εἴτε, ut Il. IX, 537 et ἤ κεν — ἤ κε ibidem 701. Post θανόντι sufficiat comma. Bergkio videtur post 1193 pentameter cum hexametro excidisse, tum scribendum τὸ ξύλον εἰ —, si quis mortuus est, nihil refert. — 1195. μήτι] A. μήτε vulg. — ἐπίορκος A. ἐπὶ ὅρκον O*. — ἀνυστόν] Emper. ἀνεκτόν vulg. — 1198. ἥγε Vinet. alii. — ἔστ' Cam. — ἀρότου] ut Cam. A. ἀρότρου O. Ald. — 1201. ἡνίοχοι A. — κυφὸν et ἄροτρον AO. — 1202. μνησθῆς Ald. τῆς αἰειμνήστης Welcker. τῆς πουλυμνηστῆς vel τῆς ἀμῆς μνηστῆς Herm. τῆς ἁλιοκμήτης Hartung. Bergkio videtur emendatio prorsus incerta atque hoc distichon a reliquis disiungendum. — 1203. εἶμ' O*. — κεκλήσεται] ut Cam. A. κικλ— O. Ald. — 1204. ὑπὸ] Cam. A. ἐπὶ O. Ald. — 1205. τεθνειότος AO. Cam. τεθνειῶτος K. — 1206. δάκρυα θερμὰ βάλοι] Bergk. e coni. Passovii. θερμὰ βάλοι δάκρυα vulg. — 1207. οὔτέ] O. — ἀπερύκομεν et καλοῦμεν] A. ἀπερύκομαι — καλοῦμαι vulg. — 1208. ἁρπαλέος] Bergk. ἀργαλέος vulg. — παρεὼν] Cam. γὰρ ἐὼν vulg. γαρ ἐὼν O*.

Αἴθων μὲν γένος εἰμί, πόλιν δ' εὐτείχεα Θήβην
οἰκῶ, πατρῴας γῆς ἀπερυκόμενος.

Μή μ' ἀφελῶς παίζουσα φίλους δέννανζε τοκῆας,
Ἄργυρι. σοὶ μὲν γὰρ δούλιον ἦμαρ ἔπι,
ἡμῖν δ' ἄλλα μέν ἐστι γύναι κακὰ πόλλ', ἐπεὶ ἐκ γῆς
φεύγομεν, ἀργαλέη δ' οὐκ ἔπι δουλοσύνη,
οὐδ' ἡμέας περνᾶσι· πόλις γε μέν ἐστι καὶ ἡμῖν
καλή, Ληθαίῳ κεκλιμένη πεδίῳ.

Μή ποτε πὰρ κλαίοντα καθεζόμενοι γελάσωμεν,
τοῖς αὑτῶν ἀγαθοῖς Κύρν' ἐπιτερπόμενοι.

Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυσμενεῖ ἐξαπατῆσαι,
Κύρνε· φίλον δὲ φίλῳ ῥῄδιον ἐξαπατᾶν.

Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσι
πταίσματα τῆς γνώμης Κύρνε ταρασσομένης.

Οὐδὲν Κύρν' ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

Οὐδὲν Κύρν' ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός.
μάρτυς ἐγώ, σὺ δ' ἐμοὶ γίνου ἀληθοσύνης.

1209—1210 videntur Bergkio poetae Euboea oriundi esse. — εὐτυχέα O. — Θῦβην O*. — 1211—1216 tribuit Bergk. *Thaletae* Gortynio. Hartung. coniunxit mutatis Αἴθων μὲν in Αἰολικὸν 1209—1216 *Cleobulo* haec disticha vindicans. — 1211. ἀφίλως coni. Bergk. — διέναζε O. δ' εὔναζε Ald. — 1212. αργυρι A. Ἀργυρί Bergk. — συ A. σῦ O*. — 1213. μὲν ἐστὶ O*. Cam. — 1214. ἔπὶ O*. — ἀργαλέῃ — δουλοσύνῃ Ald. — 1215. οὐδ'] Bekker. οὔθ' libri. — ἡμέας] ἡμᾶς vulg. — γε μέν ἐστι] A. δὲ μέν ἐστι vulg. δὲ μὲν ἔστι K. δέ μεν ἐστὶ O. Cam. — 1216. λιθαίω K. et fort. etiam O. ληταίῳ Cam. — κεκριμένη K. κεκρυμμένη O. — 1217. κλαίοντα] A. κλαίοντι O. κλαίουσι vulg. — 1218. αὐτῶν Cam. — 1219. δυσμενεῖ] Bergk. δυσμενῆ vulg. — 1220. ῥῄδιον] ῥᾴδιον vulg. — 1221—1230 desunt in codicibus. 1221—1226 addidit Vinet. e Stobaeo, sed ita ut πολλὰ — ultimum sit distichon. 1221—2 servavit Stob. VIII, 9., 1223—4 XXI, 1., 1225—6 LXVII, 4. — 1221. βροτοῖσι] vulg. — 1226. δ' ἐμοὶ] Brunck. δέ μοι Cam. δέ μου alii. — γίνου] Cam. γίγν— vulg.

[Ἀληθείη δὲ παρέστω
σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον.]

Ἤδη γάρ με κέκληκε θαλάσσιος οἴκαδε νεκρός,
τεθνηκὼς ζωῷ φθεγγόμενος στόματι.

ΕΛΕΓΕΙΩΝ Β΄.

Σχέτλι' Ἔρως, μανίαι σ' ἐτιθηνήσαντο λαβοῦσαι.
ἐκ σέθεν ὤλετο μὲν Ἰλίου ἀκρόπολις,
ὤλετο δ' Αἰγείδης Θησεὺς μέγας, ὤλετο δ' Αἴας,
ἐσθλὸς Ὀιλιάδης, σῇσιν ἀτασθαλίαις.

Ὦ παῖ, ἄκουσον ἐμεῦ δαμάσας φρένας. οὔ τοι ἀπειθῆ
μῦθον ἐρῶ τῇ σῇ καρδίῃ οὐδ' ἄχαριν.
ἀλλὰ τλῆθι νόῳ συνιεῖν ἔπος. οὔ τοι ἀνάγκη
τοῦθ' ἔρδειν, ὅ τι σοι μὴ καταθύμιον ᾖ.

Πολλάκι τοι παρ' ἐμοὶ κατὰ σοῦ λέξουσι μάταια
καὶ παρὰ σοὶ κατ' ἐμοῦ. τῶν δὲ σὺ μὴ ξύνιε.

Χαιρήσεις τῇ πρόσθε παροιχομένῃ φιλότητι,
τῆς δὲ παρερχομένης οὐκέτ' ἔσῃ ταμίης.

1227—28 non recte Theognidi tribuuntur auctore Grotio; nam apud Stob. XI, 1 leguntur praefixo lemmate Μενάνδρου Ναννοῦς, ubi Μιμνέρμου corrigendum esse vidit Passov., cfr. Mimn. fr. 8. — 1229—1230 affert Athen. X, 457 B. cochleam intelligendam esse significans. — 1231 et qui sequuntur a solo servati sunt A, ubi inscripti sunt ἐλεγείων β΄. Auctor huius libelli in eo componendo ita videtur versatus esse, ut ex poetis, qui pangendis carminibus amatoriis maxime floruerant, exceperet, parodicos etiam versus compilaret, denique quae ab ipso erant confecta insereret. Lacunas etiam hic in contextu statuendas esse observarunt viri docti. Neque Athenaeus neque Stobaeus videntur hanc collectionem novisse. Suidas legit eam, sed fortasse aut inter duas syllogas, ex quibus liber prior constat, aut — id quod probabilius videtur H. Schneidewin — inter librum priorem et Pseudophocylidea, quae et ipsa putarit esse Theognidis. Eodem ordine se excipiunt singuli libri in codice Mutinensi. — 1231. Μανίαι Welcker. — 1236. καρδίῃ] Bekker. κραδίηι A. — 1237. συνιεῖν] Lachmann. συνιδειν A.

Δὴν δὴ καὶ φίλοι ὦμεν· ἔπειτ' ἄλλοισιν ὁμίλει,
  ἦθος ἔχων δόλιον, πίστεος ἀντίτυπον.

Οὔ ποθ' ὕδωρ καὶ πῦρ συμμίξεται· οὐδέ ποθ' ἡμεῖς
  πιστοὶ ἐπ' ἀλλήλοις καὶ φίλοι ἐσσόμεθα.

Φρόντισον ἔχθος ἐμὸν καὶ ὑπέρβασιν, ἴσθι δὲ θυμῷ,
  ὥς σ' ἐφ' ἁμαρτωλῇ τίσομαι ὡς δύναμαι.

Παῖ, σὺ μὲν αὔτως ἵππος, ἐπεὶ κριθῶν ἐκορέσθης,
  αὖθις ἐπὶ σταθμοὺς ἤλυθες ἡμετέρους,
ἡνίοχόν τε ποθῶν ἀγαθὸν λειμῶνά τε καλὸν
  κρήνην τε ψυχρὴν ἄλσεά τε σκιερά.

Ὄλβιος, ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
  θηρευταί τε κύνες καὶ ξένοι ἀλλοδαποί.

Ὅστις μὴ παῖδάς τε φιλεῖ καὶ μώνυχας ἵππους
  καὶ κύνας, οὔ ποτέ οἱ θυμὸς ἐν εὐφροσύνῃ.

Ὦ παῖ, ἰκτίνοισι πολυπλάγκτοισιν ὁμοῖος
  ὀργήν, ἄλλοτε τοῖς ἄλλοτε τοῖσι φίλος.

Ὦ παῖ, τὴν μορφὴν μὲν ἔφυς καλός, ἀλλ' ἐπίκειται
  καρτερὸς ἀγνώμων σῇ κεφαλῇ στέφανος·
ἰκτίνου γὰρ ἔχεις ἀγχιστρόφου ἐν φρεσὶν ἦθος,
  ἄλλων ἀνθρώπων ῥήμασι πειθόμενος.

1243. Cfr. 597. — δην δη A. — ὁμίλει] Bergk. ομιλει A. ὁμιλεῖν Bekker. — 1244. πίστεος] πιστεος A sec. M. πιστεως sec. Bekker. πίστιος Renner. — 1246. ἔτ' Hartung. e coni. Bekkeri. ἐν coni. Bergk. — 1247. ἔχθος] Bekker. εχθοσ A sec. M.₁, εχθροσ sec. H. et Bekker. — 1249. ὡς στατὸς coni. Schmidt. ἵππῳ Bergk. lacunam post hunc v. statuens. Poetam dixisse: satiatus rupisti vincula [cfr. Il. VI, 506], sed fame pressus rediisti. — 1253. 54. *Solonis* sunt, vid. fr. 23. Hartung. etiam proximum distichon tribuit *Soloni*. — 1257. ἰκτίνοισι] Welcker. κινδύνοισι vulg. — 1258. φίλος] Hartung. φιλεῖν vulg. τοῖς φίλος εἶ coni. Bergk. — 1260. καστεροσ αγνωμων A sec. M. — Bergkii ἀμμωνῶν (i. e. ἀνεμωνῶν) probat Herwerden., sed pro καρτερὸς requirens αἰόλος vel simile quid. — Hartungo videtur στέφανος hic idem significare quod στεφάνη, »den Theil des Kopfes, der von der Hirnschale umschlossen und von Haaren umkränzt ist.« — 1262. δειλῶν Bekker. coll. 1152.

Ὦ παῖ, ὅς εὖ ἔρδοντι κακὴν ἀπέδωκας ἀμοιβήν,
  οὐδέ τις ἀντ' ἀγαθῶν ἐστὶ χάρις παρὰ σοί·
οὐδέν πώ μ' ὤνησας· ἐγὼ δὲ σὲ πολλάκις ἤδη
  εὖ ἔρδων αἰδοῦς οὐδεμιῆς ἔτυχον.

Παῖς τε καὶ ἵππος ὁμοῖον ἔχει νόον· οὔτε γὰρ ἵππος
  ἡνίοχον κλαίει κείμενον ἐν κονίῃ,
ἀλλὰ τὸν ὕστερον ἄνδρα φέρει κριθαῖσι κορεσθείς·
  ὣς δ' αὔτως καὶ παῖς τὸν παρεόντα φιλεῖ.

Ὦ παῖ, μαργοσύνης ἀπὸ μὲν νόον ὤλεσας ἐσθλόν,
  αἰσχύνη δὲ φίλοις ἡμετέροις ἐγένου,
ἄμμε δ' ἀνέψυξας μικρὸν χρόνον· ἐκ δὲ θυελλῶν
  ἧκά γ' ἐνωρμίσθην νυκτὸς ἐπειγόμενος.

Ὡραῖος καὶ Ἔρως ἐπιτέλλεται, ἡνίκα περ γῆ
  ἄνθεσιν εἰαρινοῖς θάλλει ἀεξομένη.
τῆμος Ἔρως προλιπὼν Κύπρον, περικαλλέα νῆσον,
  εἶσιν ἐπ' ἀνθρώπους σπέρμα φέρων κατὰ γῆς.

Οὐκ ἐθέλω σε κακῶς ἔρδειν, οὐδ' εἴ μοι ἄμεινον
  πρὸς θεῶν ἀθανάτων ἔσσεται, ὦ καλὲ παῖ·
οὐ γὰρ ἁμαρτωλαῖσιν ἐπὶ σμικραῖσι κάθημαι,
  τῶν δὲ καλῶν παίδων οὐ τίσις οὐδ' ἀδίκων.

Ὦ παῖ, μή μ' ἀδίκει — ἔτι σοι καταθύμιος εἶναι
  βούλομαι — εὐφροσύνῃ τοῦτο συνεὶς ἀγαθῇ·
οὐ γάρ τοί με δόλῳ παρελεύσεαι οὐδ' ἀπατήσεις·
  νικήσας γὰρ ἔχεις τὸ πλέον ἐξοπίσω.

1264. ἔστι A. — 1271. μαργοσύνης ἀπὸ μὲν] Bekker. μαργοσυνησ απο μεν A. — 1274. ἐπειγομένης Passov. — 1279. ἔρδειν A sec. M. — 1282. οὐ τίσις οὐδ' ἀδίκων] Boissonad. ουτοσετουτ' αδικων A. — 1283. καθύμιοσ A. — 1284. βούλομ' ἐπιφροσύνῃ coni. Bergk. — 1285. 86. οὐ γάρ τοι με δόλωι adscripsit in A rec. m. margini. — απατησησ A. — οὐ vel τί πλ. coni. Emper. — οὐδ' ἀπάτῃσι νικήσας ἕξεις Heimsoeth. — ποτ' ἔχεις Hartung.

ἀλλά σ᾽ ἐγὼ τρώσω φεύγοντά με, ὥς ποτέ φασιν
  Ἰασίου κούρην, παρθένον Ἰασίην,
ὡραίην περ ἐοῦσαν, ἀναινομένην γάμον ἀνδρῶν
  φεύγειν· ζωσαμένη δ᾽ ἔργ᾽ ἀτέλεστα τέλει,
πατρὸς νοσφισθεῖσα δόμων, ξανθὴ Ἀταλάντη·
  ᾤχετο δ᾽ ὑψηλὰς εἰς κορυφὰς ὀρέων,
φεύγουσ᾽ ἱμερόεντα γάμον, χρυσῆς Ἀφροδίτης
  δῶρα· τέλος δ᾽ ἔγνω καὶ μάλ᾽ ἀναινομένη.

Ὦ παῖ, μή με κακοῖσιν ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
  μηδέ με σὴ φιλότης δώματα Περσεφόνης
οἴχηται προφέρουσα. θεῶν δ᾽ ἐποπίζεο μῆνιν
  βάξιν τ᾽ ἀνθρώπων, ἤπια νωσάμενος.

Ὦ παῖ, μέχρι τίνος με προφεύξεαι; ὥς σε διώκων
  δίζημ᾽· ἀλλά τί μοι τέρμα γένοιτο κιχεῖν
σῆς ὀργῆς. σὺ δὲ μάργον ἔχων καὶ ἀγήνορα θυμόν
  φεύγεις, ἰκτίνου σχέτλιον ἦθος ἔχων.
ἀλλ᾽ ἐπίμεινον, ἐμοὶ δὲ δίδου χάριν. οὐκέτι δηρόν
  ἕξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου.

Θυμῷ γνούς, ὅτι παιδείης πολυηράτου ἄνθος
  ὠκύτερον σταδίου, τοῦτο συνεὶς χάλασον
δεσμοῦ, μή ποτε καὶ σὺ βιήσεαι, ὄβριμε παίδων,
  Κυπρογενοῦς δ᾽ ἔργων ἀντιάσεις χαλεπῶν,
ὥσπερ ἐγὼ νῦν ὧδ᾽ ἐπὶ σοί. σὺ δὲ ταῦτα φύλαξαι,
  μηδέ σε νικήσῃ παῖδα ἴσῃ κακότης.

1287. περ pro με Hartung. e coni. Bekkeri. μὲν Lachmann. — 1288. π. Ἀρκαδικήν coni. Heimsoeth. Παρθένιον κατ᾽ ὄρος Bergk. π. Ἰασίην Π. κατ᾽ ὄρος dedit Hartung. — 1290. ζωσαμένη] Bekker. ζωσαμενην A. — 1292. εἰς] A sec. M. ἐς Bekker. — 1295. ὀρίνῃς] Bekker. ὀρίναις A. μοι μᾶλλον ἐν — ὀρίνῃς, ut voluerat Herm. coll. Il. 24, 568, Hartung. — 1301. σῆς ὀργῆς] Herm. σησοιγη A. — 1302. φεύγεις] Bekker. φευγοις A. — 1305. παιδείης] —ας vulg. — 1309. ὧδ᾽] Bekker. οἵ δ᾽ A. — 1310. παῖδα ἴσῃ] Hartung. παιδαϊδη A. παιδὸς ἴσῃ Herm. παῖδ᾽ ἀδαῆ Bergk.

Οὐκ ἔλαθες κλέψας, ὦ παῖ· καὶ γάρ σε διῶμμαι·
τούτοις, οἷσπερ νῦν ἄρθμιος ἠδὲ φίλος
ἔπλευ, ἐμὴν δὲ μεθῆκας ἀτίμητον φιλότητα,
οὐ μὲν δὴ τούτοις γ' ἦσθα φίλος πρότερον.
ἀλλ' ἐγὼ ἐκ πάντων σ' ἐδόκουν θήσεσθαι ἑταῖρον
πιστόν· καὶ δὴ νῦν ἄλλον ἔχεισθα φίλον.
ἀλλ' ὁ μὲν εὖ ἔρδων κεῖμαι· σὲ δὲ μήτις ἁπάντων
ἀνθρώπων ἐσορῶν παιδοφιλεῖν ἐθέλοι.

Ὦ παῖ, ἐπεί τοι δῶκε θεὰ χάριν ἱμερόεσσαν
Κύπρις, σὸν δ' εἶδος πᾶσι νέοισι μέλει,
τῶνδ' ἐπάκουσον ἐπῶν καὶ ἐμὴν χάριν ἔνθεο θυμῷ,
γνοὺς ἔρος ὡς χαλεπὸν γίνεται ἀνδρὶ φέρειν.

Κυπρογένη, παῦσόν με πόνων, σκέδασον δὲ μερίμνας
θυμοβόρους, στρέψον δ' αὖθις ἐς εὐφροσύνας,
μερμήρας δ' ἀπόπαυε κακάς, δὸς δ' εὔφρονι θυμῷ
μέτρ' ἥβης τελέσαι τ' ἔργματα σωφροσύνης.

Ὦ παῖ, ἕως ἂν ἔχῃς λείην γένυν, οὔ ποτε σαίνων
παύσομαι, οὐδ' εἴ μοι μόρσιμόν ἐστι θανεῖν.

Σοί τε διδοῦν ἔτι καλόν, ἐμοί τ' οὐκ αἰσχρὸν ἐρῶντι
αἰτεῖν. ἀλλὰ γονέων λίσσομαι ἡμετέρων·
αἰδέο μ', ὦ παῖ . . . διδοὺς χάριν, εἴ ποτε καὶ σύ
ἕξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου

1311—12. διῶμμαι· τούτοις] Herm. διωμαι τούτοις A. δίωμαι. τούτοις δ' Hartung. — 1312. φιλοις A. — 1314. οὐ μὲν δὴ τούτοις γ'] Herm. συμεν δὴ τουτοισ' A. — 1315. θήσεσθαι] Seidler. σησεσθαι A. — 1316. ἔχεισθα] Bekker. εχοισθα A. ἔχεσθα requirunt Bergk. et Renner. — 1317. κεῖμαι] Bekker. κειμι A. — 1318. παιδοφιλεῖν] Bekker. παιδα φιλειν A. — 1320. πᾶσι νέοισι] Bekker. παισινεοῖσι A. — 1322. γίνεται] A sec. Pr. Bergk. γίγν— Bekker. — 1324. τρέψον Mey. — 1325. εὔφρονι] Bekker. ευφρόσυν A. — 1326. τελέσαι τ'] Herm. τελέσαντ' A. — 1327. λείην] λείαν Bekker. λιαν A. — σ' αἰτῶν ut Orelli coni. Hartung., qui hoc distichon cum sequentibus coniunxit. — 1329. διδοῦν] Bergk. διδοῦν' Herm. διδόντ' A. — καλόν ἐστιν Bergk. — 1331. τήνδε supplet Herwerden. ἐμοὶ δὲ δίδου Hartung. e coni. Passovii; Bergkio videntur plura excidisse. — 1332. κυπρογένουσ A.

χρηίζων καὶ ἐπ᾽ ἄλλον ἐλεύσεαι· ἀλλά σε δαίμων
  δοίη τῶν αὐτῶν ἀντιτυχεῖν ἐπέων.

Ὄλβιος ὅστις ἐρῶν γυμνάζεται, οἴκαδε δ᾽ ἐλθὼν
  εὕδει σὺν καλῷ παιδὶ πανημέριος.

Οὐκέτ᾽ ἐρῶ παιδός, χαλεπὰς δ᾽ ἀπελάκτισ᾽ ἀνίας,
  μόχθους τ᾽ ἀργαλέους ἄσμενος ἐξέφυγον,
ἐκλέλυμαι δὲ πόθου πρὸς ἐυστεφάνου Κυθερείης·
  σοὶ δ᾽ ὦ παῖ χάρις ἔστ᾽ οὐδεμία πρὸς ἐμοῦ.

Αἰαῖ, παιδὸς ἐρῶ ἁπαλόχροος, ὅς με φίλοισι
  πᾶσι μάλ᾽ ἐκφαίνει, κοὐκ ἐθέλοντος ἐμοῦ.
τλήσομαι οὐ κρύψας ἀεκούσια πολλὰ βίαια·
  οὐ γὰρ ἐπ᾽ αἰκελίῳ παιδὶ δαμεὶς ἐφάνην.

Παιδοφιλεῖν δέ τι τερπνόν, ἐπεί ποτε καὶ Γανυμήδους
  ἤρατο καὶ Κρονίδης, ἀθανάτων βασιλεύς,
ἁρπάξας δ᾽ ἐς Ὄλυμπον ἀνήγαγε, καί μιν ἔθηκε
  δαίμονα παιδείης ἄνθος ἔχοντ᾽ ἐρατόν.
οὕτω μὴ θαύμαζε, Σιμωνίδη, οὕνεκα κἀγὼ
  ἐξεδάμην καλοῦ παιδὸς ἔρωτι δαμείς.

Ὦ παῖ, μὴ κώμαζε, γέροντι δὲ πείθεο ἀνδρί·
  οὔ τοι κωμάζειν σύμφορον ἀνδρὶ νέῳ.

Πικρὸς καὶ γλυκύς ἐστι καὶ ἁρπαλέος καὶ ἀπηνής,
  ὄφρα τέλειος ἔῃ Κύρνε νέοισιν ἔρως·

1333—34 Welcker. cum praegressis conexuit probantibus Bergk. et Hartung. — Adscita Welckeri ratione ἕξεις non iam stare poterit. Sed χρυσῆς nolim cum Hartungo substituere. Mihi potius totus v. e v. 1304 explendae lacunae causa huc videtur translatus esse. — 1335. δ᾽] addidit Bekker. — 1336. εὕδει] Bekker. εὕδειν A. — 1341. Αἰαῖ] Bergk. αἰαί A. — φίλοισι] A. φίλοισιν Bekker. — 1343. ἀεκούσια Boissonad. et Welcker. ἀεκουσι A. — 1344. οὐ γὰρ ἀεικελίῳ Mey et Renner. — 1345—1350 tribuunt Bergk. et Hartung. *Eueno Pario maiori.* — 1345. δ᾽ ετι A. — 1347. ἔθηκε] A. ἔθηκεν Bekker. — 1350. ἐξεφάνην ut Baiter. et Ahrens. coniecerant Orelli et Hartung. — 1351. φωτί Herm. — 1354. τελεοσ ἔῃι A.

ἢν μὲν γὰρ τελέσῃ, γλυκὺ γίνεται· ἢν δὲ διώκων
μὴ τελέσῃ, πάντων τοῦτ' ἀνιηρότατον.

Αἰεὶ παιδοφίλῃσιν ἐπὶ ζυγὸν αὐχένι κεῖται
δύσμορον, ἀργαλέον μνῆμα φιλοξενίης.

Χρὴ γάρ τοι περὶ παῖδα πονούμενον εἰς φιλότητα
ὥσπερ κληματίνῳ χεῖρα πυρὶ προσάγειν.

Ναῦς πέτρῃ προσέκυρσας ἐμῆς φιλότητος ἁμαρτών,
ὦ παῖ, καὶ σαπροῦ πείσματος ἀντελάβου.

Οὐδαμά σ' οὐδ' ἀπεὼν δηλήσομαι· οὐδέ με πείσει
οὐδεὶς ἀνθρώπων ὥστέ με μή σε φιλεῖν.

Ὦ παίδων κάλλιστε καὶ ἱμεροέστατε πάντων,
στῆθ' αὐτοῦ καί μου παῦρ' ἐπάκουσον ἔπη.

Παιδός τοι χάρις ἐστί, γυναικὶ δὲ πιστὸς ἑταῖρος
οὐδείς, ἀλλ' αἰεὶ τὸν παρεόντα φιλεῖ.

Παιδὸς ἔρως καλὸς μὲν ἔχειν, καλὸς δ' ἀποθέσθαι·
πολλὸν δ' εὑρέσθαι ῥήτερον ἢ τελέσαι.
μυρία δ' ἐξ αὐτοῦ κρέμαται κακά, μυρία δ' ἐσθλά·
ἀλλ' ἔν τοι ταύτῃ καί τις ἔνεστι χάρις.

Οὐδαμά πω κατέμεινας ἐμὴν χάριν, ἀλλ' ὑπὸ πᾶσαν
αἰεὶ σπουδαίην ἔρχεαι ἀγγελίην.

1355. γίνεται] sec. Pr. A. Bergk. γίγν— Bekker. — 1358. δύσλοφον Hartung. e coni. Ahrens. — φιλοφροσύνης Hartung., qui sequens distichon cum hoc coniunxit. ἀργαλέης — φιλημοσύνης vel μνήματα δουλοσύνης suspicatur Bergk. — 1363. σ' οὐδ'] Boissonad. σοῦ δ' Bekker. οὐδ' αμα σου δ' A. — ἀέκων Hartung. cum Orellio. — Bekker. coniunxit hoc distichon cum praecedenti. — 1372. Pro ταύτῃ (A εν τοι ταυτη) alii alia proposuerunt, παύλῃ Orelli, λύπῃ Ahrens. ταὐτῷ Emper. ἀάτῃ Hecker. γ' ἄτῃ Nauck. τῇδ' ἄτῃ olim Bergk. Ego suspicabar ἀλλὰ γὰρ ἐν ταὐτῷ.

Ὄλβιος ὅστις παιδὸς ἐρῶν οὐκ οἶδε θάλασσαν,
 οὐδέ οἱ ἐν πόντῳ νὺξ ἐπιοῦσα μέλει.

Καλὸς ἐὼν κακότητι φρενῶν δειλοῖσιν ὁμιλεῖς
 ἀνδράσι, καὶ διὰ τοῦτ᾿ αἰσχρὸν ὄνειδος ἔχεις,
ὦ παῖ· ἐγὼ δ᾿ ἀέκων τῆς σῆς φιλότητος ἁμαρτών,
 ὠνήμην ἔρδων οἷά τ᾿ ἐλεύθερος ὤν.

Ἄνθρωποί σ᾿ ἐδόκουν χρυσῆς παρὰ δῶρον ἔχοντα
 ἐλθεῖν Κυπρογενοῦς . . . . .

[Κυπρογενοῦς δῶρον ἰοστεφάνου]
γίνεται ἀνθρώποισιν ἔχειν χαλεπώτατον ἄχθος,
 ἢν μὴ Κυπρογενὴς δῷ λύσιν ἐκ χαλεπῶν.

Κυπρογενὲς Κυθέρεια δολοπλόκε, σοί τι περισσόν
 Ζεὺς τόδε τιμήσας δῶρον ἔδωκεν ἔχειν·
δαμνᾷς ἀνθρώπων πυκινὰς φρένας, οὐδέ τίς ἐστιν
 οὕτως ἴφθιμος καὶ σοφὸς ὥστε φυγεῖν.

1377. φρενῶν] Haupt. φιμον A sec. Bekker. φιμον aut φιλιον sec. H. φιλον sec. M. φίλων Bekker. Bergkio videtur latere nomen proprium. — 1382—83. A coniunctim ελθειν κυπρογενους δωρον ιοστ. Diremit Bekker. repetito Κυπρογενοῦς. Hartung. delevit Κ. δ. ἰ. novumque distichon incepit a v. 1384. — γίνεται] A. Bergk. γίγν— Bekker. — 1385. ἢν] Schneidewin. ἂν A. — 1386. κυπρόγενες κύθειρα A. Correxit Bekker. — σοί τί A. — 1388. δαμνᾷς] Hartung. δαμνας δ᾿ A. δαμνᾷς δ᾿ Bekker.

ADDENDA.

I.

Conspectus versuum in codicibus repetitorum.*)

Repetuntur

V. 41—42 in AO post 1082:

ἀστοὶ[1]) μὲν γὰρ ἔασι σαόφρονες, ἡγεμόνες δὲ
τετράφαται πολλὴν ἐς [2]) κακότητα πεσεῖν.

V. 87—90 in AO ibidem, in A ita variati:

μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλας,
εἴ με φιλεῖς καί σοι [3]) πιστὸς ἔνεστι νόος.
ἀλλὰ φίλει καθαρὸν θέμενος νόον, ἤ [3]) μ' ἀποειπὼν
ἔχθαιρ', ἐμφανέως νεῖκος ἀειράμενος.

V. 97—100 in AO post 1164:

τοιοῦτός τοι ἀνὴρ [4]) ἔστω φίλος, ὃς τὸν ἑταῖρον
γινώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει [5])
ἀντὶ κασιγνήτου. σὺ δέ μοι φίλε ταῦτ' ἐνὶ θυμῷ
φράζεο, καί ποτέ μου [6]) μνήσεαι ἐξοπίσω.

V. 209—210 in A post 332:

οὐκ ἔστιν [7]) φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος·
τῆς δὲ φυγῆς ἐστὶν τοῦτ' ἀνιηρότατον.

V. 367—368 in AO post 1186:

ἀστῶν δ' οὐ δύναμαι γνῶναι νόον, ὅντιν' ἔχουσιν· [8])
οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω οὔτε κακῶς.

---

*) Inde a versu 1—300 nulla invenitur repetitio. Plurimae extant a v. 1038—1220. A versu fere millesimo videtur incipere altera sylloga, in qua haud raro antiquior meliorque scriptura deprehenditur.

[1]) ἀστὶ O*. [2]) εἰσ A. [3]) καὶ σοὶ — εἴ A. [4]) τοιοῦτος ἀνὴρ O.
[5]) ει e ras. K. [6]) ποτεμου A. [7]) εστι A. [8]) εχουσι A.

V. 415—416 in K, 415—418 in AO post 1164:

οὔτιν' ὁμοῖον[1]) ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν
  πιστὸν ἑταῖρον, ὅτῳ μή τις ἔνεστι δόλος·
ἐς βάσανον δ'[2]) ἐλθὼν παρατριβόμενός τε μολίβδῳ
  χρυσός, ὑπερτερίης ἄμμιν ἔνεστι λόγος.[3])

V. 441—446 in AO post 1162:

οὐδεὶς γὰρ πάντ' ἐστὶ πανόλβιος. ἀλλ' ὁ μὲν ἐσθλὸς
  τολμᾷ ἔχων τὸ κακὸν κοὐκ[4]) ἐπίδηλος[5]) ὅμως·
δειλὸς δ' οὔτ' ἀγαθοῖσιν ἐπίσταται οὔτε κακοῖσι[6])
  θυμὸν ὁμῶς μίσγειν. ἀθανάτων τε δόσεις
παντοῖαι θνητοῖσιν ἐπέρχοντ'.[7]) ἀλλ' ἐπιτολμᾶν
  χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν ἔχειν.

V. 555—556 AO post 1178:

τολμᾶν χρὴ χαλεποῖσιν ἐν ἄλγεσιν ἦτορ[8]) ἔχοντα
  πρός τε[9]) θεῶν αἰτεῖν[10]) ἔκλυσιν ἀθανάτων.

V. 571—572 in AO post 1104:

δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον·
  πολλοὶ ἀπείρητοι δόξαν ἔχουσ' ἀγαθῶν.[11])

V. 619—620 in AO post 1114:

πολλὰ δ' ἀμηχανίῃσι κυλίνδομαι ἀχνύμενος κῆρ·
  ἀρχὴν (scrib. ἄκρην) γὰρ πενίης οὐχ ὑπερεδράμομεν.

V. 853—854 in AO post 1038:

ᾔδεα[12]) μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώιον ἤδη,
  οὕνεκα[13]) τοῖς δειλοῖς οὐδεμί' ἐστι[14]) χάρις.

V. 877—878 in AO post 1070:

τέρπεό μοι, φίλε θυμέ. τάχ' αὖ τινὲς[15]) ἄλλοι ἔσονται
  ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

V. 1095—1096 in AO post 1160:

ὦ νέοι οἳ νῦν ἄνδρες, ἐμοί γε[16]) μὲν οὔτις ἀνάγκη
  τοῦθ' ἔρδειν.[17]) τῶν μοι πρόσθε[18]) χάριν τίθεσο.[19])

V. 1101—1102 et 949—950 in A post 1278.
V. 1107—1108 in A post 1318 cum variatione ὦι μοι — τοῖσι φιλοισ δε.
V. 1151—1252 in A post 1238.

Praeterea cfr.:

39—40

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
  εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.

---

1) ομοιον A. 2) τ' A. 3) νόος O. Pro δόλος e ras. K. 4) οὐκ O. 5) ἐπίδηλον AO*, prior etiam ομῶς. 6) κακοῖσϊʃ O*. 7) ἐπέρχεται O*. 8) ἐπ' ἄλγεσιν ἧπαρ K. ἐπ' ἄλγεσιν ἧπαρ O. 9) πρὸσ δὲ A. 10) δ' αἰτεῖν O. 11) ἀγαθοί A. ἀγαθήν K. 12) ἠδέα O. ἤδε αμεν — πολυ — ἤδη A sec. Noltium. 13) οὔνεκα O*. 14) ουδεμι' εστι A. οὐδὲ μί' ἐστὶ O*. 15) ἄντινες O. In K videtur ν correctum esse in υ. 16) ἔμοιγε O. 17) ταῦθ' ερδειν A. ταῦτ' ἔρδειν K. 18) πρόσθεν O. 19) Lacunam, quam post ἄνδρες invenerit, librarium ex antecedentibus distichis supplevisse coni. H. Schneidewin.

1081—82

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος.

57—60

καὶ νῦν εἴσ' ἀγαθοί, Πολυπαΐδη· οἱ δὲ πρὶν ἐσθλοὶ
νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν;
ἀλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες,
οὔτε κακῶν γνώμας εἰδότες οὔτ' ἀγαθῶν.

1109—10
1113—14

Κύρν', οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἱ δὲ κακοὶ πρὶν
νῦν ἀγαθοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,
. . . .
. . . .
ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν,
οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

115—16

πολλοί τοι πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

643—44

πολλοὶ πὰρ κρητῆρι φίλοι γίνονται ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

211—12

οἶνόν τοι πίνειν πουλὺν κακόν. ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακός, ἀλλ' ἀγαθός.

509—10

οἶνος πινόμενος πουλὺς κακόν. ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακόν, ἀλλ' ἀγαθόν.

213—14
217—18

Κύρνε, φίλους κάτα πάντας ἐπίστρεφε ποικίλον ἦθος,
ὀργὴν συμμίσγων ἥντιν' ἕκαστος ἔχει.
. . . .
. . . .
νῦν μὲν τῇδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος χρόα γίνου·
κρέσσων τοι σοφίη γίνεται ἀτροπίης.

1071—74

Κύρνε, φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος,
συμμίσγων ὀργὴν οἷος ἕκαστος ἔφυ.
νῦν μὲν τῷδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος πέλευ ὀργήν·
κρέσσων τοι σοφίη καὶ μεγάλης ἀρετῆς.

409—10

οὐδένα θησαυρὸν παισὶν καταθήσῃ ἀμείνω
αἰδοῦς, ἥτ' ἀγαθοῖς ἀνδράσι Κύρν' ἕπεται.

1161—62

οὐδένα θησαυρὸν καταθήσειν παισὶν ἄμεινον·
αἰτοῦσιν δ' ἀγαθοῖς ἀνδράσι Κύρνε δίδου.

Stobaeus:

οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω
αἰδοῦς, ἣν ἀγαθοῖς ἀνδράσι Κύρνε δίδως.

597—98

δὴν δὴ καὶ φίλοι ὦμεν· ἀτάρ τ' ἄλλοισιν ὁμίλει
ἀνδράσιν, οἳ τὸν σὸν μᾶλλον ἴσασι νόον.

1243—44

δὴν δὴ καὶ φίλοι ὦμεν· ἔπειτ' ἄλλοισιν ὁμίλει,
ἦθος ἔχων δόλιον, πίστεος ἀντίτυπον.

---

168 }
850 } ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

301 πικρὸς καὶ γλυκὺς ἴσθι καὶ ἁρπαλέος καὶ ἀπηνής.
1353 πικρὸς καὶ γλυκύς ἐστι καὶ ἁρπαλέος καὶ ἀπηνής.

366 δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.
1030 δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη.

417—18 ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι ὥστε μολίβδῳ
χρυσός . . .
1105—6 εἰς βάσανον δ' ἐλθὼν παρατριβόμενός τε μολίβδῳ
χρυσός . . .

540 }
554 } εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

593—94 μήτε κακοῖσιν ἀσῶ τι λίην φρένα μήτ' ἀγαθοῖσι
τερφθῇς . . .
657—58 μηδὲν ἄγαν χαλεποῖσιν ἀσῶ φρένα μηδ' ἀγαθοῖσι
χαῖρ' . . .

1152 δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.
1262 ἄλλων ἀνθρώπων ῥήμασι πειθόμενος.

II.

Index lacunarum, quae sunt in Veneto 522.

37*) — φήσεις**) . . 39 — δέδοικα . . 41 — ἡγεμόνες . . 43 — ἀγα-

*) 34 om. ὕναμις, 36 νόον.
**) — indicat quod deest.

θοὶ . . 45 — δίκας . . 47 — δηρὸν . . 49 — τοῖσι . . 51 — γάρ . . || 106 . . ἁλὸς —. 108 . . πάλιν —. 110 . . πάντων —. 112 . . ἀγαθῶν —. 114 . . ὥστε καὶ —. 116 . . πρήγματι —. 118 . . περὶ —. 120 . . ἀνδρὶ —. || 173 — ἀγαθὸν πενίη — μάλιστα. 177 — οὔτε . . 179 — γῆν . . 181 — Κύρνε . . 183 — ὄνους . . 185 — γῆμαι . . || 237 — πτέρ' . . 240 ἐν —. 242 εὐκόσμως —. 244 βῆς πολὺ κωκυτοὺς —. 246 . . αἰὲν —. 248 . . πόντον —. 250 . . δῶρα —. 252 . . τε καὶ —. 254 . . μ' ἀ —. || 309 — πεπνυμένος . . 311 — κρατερὸν . . 313 — μαίνομαι . . 315 — πλουτοῦσι . . || 380 . . ἔργασι —. 382 . . ἰὼν —. 384 . . ἴσχοντα —. 386 . . θυμὸν —. 388 . . αἴσχιον —. 390 . . οὐλομένας —. 394 . . χρημοσύνη —. || 451 — οὐχ . . 453 — ὥσπερ . . 455 — ἐφαίνεο . . 457 — γυνὴ . . 459 — ἀπορρήξασα . . 461 — ἀπρήκτοισι . . 463 — χρῆμα . . || 526 . . ἀνδρὶ —. 528 . . τῆς δ' ἀ —. 530 . . δούλιον —. 532 . . φθεγγομένων —. 534 . . λύρην —. || 599 — φοιτῶν . . 601 — ἐχθρὲ . . 603 — ἀπώλεσεν . . 605 — λοιμοῦ . . 607 — ψεύδους . . 609 — οὐδὲ . . || 678 . . γίνεται —. 680 . . κατὰ —. 682 . . κακόν, ἄν —. || 743 — τοῦτ' . . 747 — κεν . . 749 — ἀνὴρ . . 751 — πλούτῳ . . 753 — θὼν . . 755 — τῶνδ' . . || 817 . . ἔσθ' —. 818 —. 820 Κύρνε —. 822 . . ὀλίγ —. 824 . . θεῶν —. 825 — ἡμῖν . . 826 . . φαίνεται —. 828 . . πορφυρέ —. 829 . . δὴ — κεῖρε — ἀπόπαυε . . 830 . . ἀπολλύ —. 832 . . ἀμφοτέρ —. || In iis, quae sequuntur, desunt praeter ea, quae suo quaeque loco indicavi, 1098 ὀν προφυγών, 1100 γνώσῃ ἐπιφροσύνην, 1106 ν ἔσῃ.

III.

In Vaticano 63, ubi prima cuiusque Sententiae littera rubrica picta est, singula ad hunc modum distinguuntur:

19—28.*) 29—38. 39—52. 53—68. 73—76. 87—92. 101—112. 113—128. 145—148. 151—154. 167—170. 173—182. 183—196. 233—236. 267—278. 283—294. 295—300. 337—350. 367—370. 373—398. 429—438. 467—496. 563—570. 579—584. 591—592. 593—594. 611—612. 613—614. 661—666. 719—730. 757—768. 773—788. 797—800. 805—806. 807—810. 815—820. 831—836. 837—844. 851—854. 877—884. 885—890. 903—930. 989—992. 997—1006. 1041—1050. 1055—1062. 1097—1102. 1167—1170. 1171—1172. 1173—1176.

*) Attuli tantummodo ea, in quibus codex discedit a Bekkero.

IV.

V. 4. Ἀείσω legitur etiam apud Sapph. 11 [47]: τάδε νῦν ἑταίραις | ταῖς ἔμαισι τέρπνα κάλως ἀείσω, ad quem locum Bergk annotavit: Meineke ἀείδω dubitanter proposuit. — Usener ἀείσω, qua de forma in pr. ego quoque dubitavi, his verbis refutat: »Für Theognis ist ἀείσω un-

möglich 1) wegen der Futurbildung. Die Attiker kennen nur die mediale Form. Bei Eurip. Herc. Fur. 678 ist schon wegen ἔτι κελαδεῖ mit Elmsley ἀείδω zu lesen, ebenso ist bei Sappho wegen νῦν das Praes. herzustellen. 2) Aber auch ἀείδω stimmt wenig zu οὔποτε σεῖο λήσομαι. Aber gesetzt es wäre richtig, dann sind die beiden ersten Disticha nicht theognideisch. Das alte Epos gebraucht ἀείδειν nur mit kurzem α, ebenso die Hesiod. Dichtung und die Lyriker Terpander Alkman Alkaios Sappho Pindar —. Cobets ὑμνήσω bleibt immer noch die einfachste Hilfe.« Cfr. Jahnii annal. 1878. — Dreykornio primi quatuor versus videbantur spurii.

V. 39 sqq. Secundum Bergk. haec fere fuit forma Theognidea:

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
  ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος.

* *

  εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.
ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες, ἡγεμόνες δὲ
  τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.

Secundum H. Schneidewin:

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
  εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.

* *

  ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος.
ἀστοὶ μὲν γὰρ ἔασι σαόφρονες κτλ.

Forma ἔασι, quam apud Theognidem alias legi negat Schneidewin, redit etiam 623.

V. 53 sqq. Schneidewino Theognis haec fere videtur scripsisse: 53—58 (ἐσορῶν,) et 1111—1114, quae deinde a diasceuastis in artum sint redacta et variata. Alterius syllogae scripturas ἀπατῶντες — γελῶσιν, μνήμην, ἀγαθῶν — κακῶν esse praeferendas.

V. 111. Schmidt coni. ἐπουρίζουσι (sie fördern trotzdem das Glück des alten Freundes), Sitzler εὖ αὖ ῥέζουσι, sono ingrato. Herwerden putat hoc distichon profectum esse ab homine antiqui graeci sermonis turpiter ignaro.

V. 125 sqq. Quotiescunque lego hos versus, oritur mihi suspicio eos esse interpolatos. Quae suspicio his nititur rationibus: versu 124 egregie concluditur elegia; versu 125, ubi optimi codd. praebent οὐδὲ γάρ, non apparet, quid post φίλου νόος ἀνδρός (121) sibi velit ἀνδρὸς νόον οὔτε γυναικός; versus 127 est v. desperandus; denique ultimus v. videtur fabricatus esse secundum εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί 540. 554. — Leutsch coniungit 117. 18. 125—28 cum his scripturis: κιβδήλοι' ἀνδρὸς — ἐστὶ πύιρ — οὐδέ κεν εἰδείης — ποτ' † ἐς ὥριον —. Nolim sequi vel propter κιβδήλοι'.

V. 235—36. A scripturis, quas in hoc disticho exhibet A, proxime absunt coniecturae Ahrensii et Herwerdeni. Ὅσα et ὡς haud raro confunduntur in libris. Poeta videtur dixisse: Nullo pacto nos iam decent quae (decent) viros salvos, sed quaecunque urbem, quae prorsus expugnabitur.

V. 237—54. Severum de his versibus iudicium fecit Mey (p. 23), qui censet eos clausisse librum alterum elegiarum simulatosque esse et Theognidem et Cyrnum. — Ultimum certe distichon magis convenit orationi, qualis est in ἐλεγείων β'. Cfr. 1265.

V. 243. Usener coni. αἰὲν ἀείσονται· δνοφερῆς δ' ὑπὸ — βὰς κτλ.

V. 263 sqq. In his offendunt ψυχρόν — πίνουσι, ἅμα θ' ὑδρεύει καὶ — φέρει, ἐφίλησα — φθέγγεται. Coniecturis a Bergkio allatis addo suspicionem Sitzleri, qui 261—66 coniungens praeeunte Heimsoethio scribit ψυδρόν — 'πινοοῦσι omnemque rem ita expedit, ut in describenda amantis persona multa, quae poeta ne verbo quidem indicat, cogitationi suae indulgens haud ita probabiliter adfingat.

V. 328. Recte, opinor, Welcker: Deos quidem, ait, non ferre hominum peccata, sed punire; nos autem ferre debere, quum vindices eorum non simus constituti. — Bergkii scriptura praeberet sensum: Dii ferunt, quidni ferant etiam homines?

V. 347. Sitzler proposuit φυγών, Heimsoeth δ' ἀέκων — χαράδρην χειμάρρου ποταμοῦ.

V. 379. Quod in pr. dixi, veteres editiones a Bergkio nimis neglectas esse, id iure me dixisse negat Leutsch (Philol. XXIX, 647) provocans ad hunc locum, ubi Bergk: τρεφθῇ Neander et Brunck. — At τρεφθῇ non Neander primus scripsit, sed Camerarius, quem iam Bekker in pr. rectissime nominaverat.

V. 381. 82. Hoc distichon iam Heyne in Recensibus litteratorum Gottingensium 1784 ex margine illatum esse censebat. Cfr. Welcker.

V. 511—522. Copiose disputavit de hac elegia Leutsch in Philol. XXIX, 644 sqq. — Kratz tenet in v. 516 vulgatam (interpretans: accumbe cum eo, i. e. excipe eum quam poteris amicissime hospitio), sed ita ut post 514 ponat 517—518. Propter ὡς φιλότητος ἔχεις cfr. ὡς ποδῶν ἔχεις et quae sunt similia.

V. 651. Fortasse aliquis dicat Ahrensii coniectura καὶ δειλά orationem fieri concinniorem: αἰσχρά — δειλά, ἐσθλά — καλά. Cfr. 835, ubi omnes libri πολλά praeter A. Is δειλά.

V. 997. Jam recepi cum Bergkio ex AKO τῆμος pro ἦμος. Temere arripiens quod ad hunc locum annotavit Bergk: τῆμος, Hartung ἦμος, Hart (Philolog. Anzeiger. 1869) me reprehendit, quod non indicaverim, ἦμος esse coniecturam Hartungi. At ἦμος est lectio vulgata, quam omnes editores ante Bergkium tenuerunt.

V. 1099. Bergk: βρόκχον cum Scaligero scripsi. Cf. Hesych. βρόκχος· βρόχος. — In edit. Schmidt. id frustra quaesivi. Βρόχον voluit etiam Scaliger, qui diserte dicit: Scribitur βρόχον, legitur βρόκχον. Neque aliter iudicavit Schaefer in edit. Brunck.

V. 1136. In Philologo (XXIX, 515) contendit Leutsch, codices praebere Οὔλυμπον γῆν προλιπόντες; formam Οὔλυμπόνδε repugnare sublimitati huius poematis; suffixum δε Theognidem nunquam coniunxisse cum nominibus propriis. — Codices praebent ad unum omnes Οὔλυμπον ἐκπρολιπόντες. Ita si scriberetur, nemo non accusativum coniungeret cum participio. Quod autem attinet ad Οὔλυμπόνδε, non intelligo, cur Theognis sibi non potuerit permittere, quod sibi permisit Pindarus.

V. 1139. Ὅρκους δικαίους intelligit Kratz in aller Form (Rechtens) geschworne Eide.

V. 1162. Initium pentametri fortasse in archetypo corruptum fuit, unde librarii versus exitum ad arbitrium suppleverunt (ἕπεται — δίδου, δίδως). Αἰδῶ τινι διδόναι suspecta est locutio. Cfr. H. Schneidewin.

De codicibus Theognideis disputans Leutsch (Philol. XXIX, 644) hoc fecit iudicium: »Die Grundlage bilden AO, die übrigen sind, wie Hart richtig bemerkt, nur in den schwierigen Fällen heranzuziehen, nicht also nach jetzt vielfach vorkommender hochmüthiger und bequemer, auch von Z. befürworteter Weise bei Seite zu werfen.« — Ut tandem

appareret, qui fructus ad sanandos locos difficiliores redundaret e libris tertiae classis, composui tabulam subsequentem. Ea demonstrabit, quo iure Leutsch eos, qui hac de re aliter quam ipse sentiunt, commoditatis et superbiae arguerit.

Mut. Vat. 915. Tertia classis.

52 AO μούναρχοι — μούναρχος
55 AO πλευραῖσι — πλευρῇσι
57 A (sec. M.) O εἶσ' — εἶσ' et A sec. B.
67 AO δόλους — δόλους τ' e l r
73 AO ἀνακοίνεο — ἀνακοινέο e l
83 AO τούτους οὐχ — τοὺς δ' οὐχ — A εὕροις — εὑρήσεις ut O.
94 A (sec. Pr. et M.) O ἄλλην — ἀλλῃ O et A sec. B.
119 AO ἄσχετος — ἀνσχετός i
125 AO οὐδὲ γὰρ — οὐ γὰρ ἄν, οὐ γάρ n.
139 A ὅσσα θέλῃισιν, O ὅσα θέλησιν — ὅσ' ἐθέλησιν b c d f h m (num reliqui ὅσσ' ἐθέλῃσιν?)
154 AO ἀνθρώπων — ἀνθρώπῳ
238 AO πωτήσει — πωτήσῃ
251 A πᾶσι διὸς οἶσι, O πᾶσιν οἷσι — πᾶσι γὰρ οἷσι
320 AO ἔν τε κακοῖς κείμενος ἔν τ' ἀγαθοῖς — ἔν τ' ἀγαθοῖς κ. ἔν τε κακοῖς *)
355 AO κ' ἐσθλοῖσιν — κἀσθλοῖσιν
409 AO παισὶ καταθήσει — παισὶν καταθήσῃ
413 A μετ', O μ^{ε}γ' — με
433 AO ἀτειρὰς — ἀτηρὰς
440 A κἴδιον, O κἶδιον — ἴδιον
607 AO μικρὰ — μικρὴ
659 A πρᾶγμα, O πράγμα — πρῆγμα et A sec. B.
664 A ἐξαπίνης αποτοῦν, O ἐξαπίνης πάντα — ἐξαπίνης πάντ' οὖν
689 AO ὅτε — ὅτι?
696 AO μόνος — μοῦνος
715 AO ταχέων — ταχεῶν
737 A τ', O θ' — δ'
755 AO εἰς — ἐς
762 AO ἀρεσσόμενοι — ἀρεσσάμενοι
771 AO δεικνύειν — δεικνύναι
785 AO δ' — τ'
796 A τοι σε, O τοῖςδε — τις σε mg. h.
810 AO οὐδ' — οὔτ'
814 AO τὸν — τῶν
875 AO σέ τε — σέ γε
944 AO θεοῖς — θεοῖσιν
980 A σπεύδου, O σπεύδει — σπεύδοι **)

---

*) Sic etiam Stob. — Cfr. v. 397 οὔτε κακοῖς — οὔτ' ἀγαθοῖσι. V. 60 suspicatur Bergk οὔτ' ἀγαθῶν γνώμην εἰδότες οὔτε κακῶν, v. 172 Kuellenberg οὔτ' ἀγάθ' ἀνθρώποις γίνεται οὔτε κακά.

**) Ut probaret iniuria me neglexisse tertiam classem, Hart etiam hoc loco usus est. Ubi praecedit εἴη, deinde sequuntur θέλγοι — φαίνοιτ' — δύναιτ', erat sane operae pretium, ad tertiam classem confugere, ut σπεύδει converteretur in σπεύδοι! Verissime Bergk (Mus. Rhen. 1845, 412): »Gar oft würde das, was sie [die schlechteren Handsch.] Gutes bieten, auch ohne Weiteres aus Conjectur hergestellt werden müssen.«

983 A θαλίεσσι, O θαλίαισι — θαλίῃσι
993 AO ἐφήμερον — ἐφίμερον
996 A τ', O θ' — χ'
998 AO παραγγέλοι — παραγγέλλοι d g h n
1031 AO τ' — γ'
1045 AO τόνδε — τῶνδε
1051 AO πράξης — πρήξῃς
οι
1081 AO τέκοι — τέκη h
1166 A τελεῆι, O τελέοις — τελέῃς
1173 A δ' ἡμῖν sec. M., δ' ἥμιν sec. Pr., O δ' ἡμῖν — δή μιν mg. h l et A sec. B.
1201 AO κυφὸν — ἄροτρον — κύφων' — ἀρότρου
1205 AO τεθνειότος — τεθνηότος.

Profecto si olim sodalis aliquis Societatis Graecae Godofredo Hermanno dissertationem tradidisset cum emendationibus, quales exhibet ista tertia classis, ille sine dubio dixisset quod interdum dicebat: vellem, difficiliores locos tractasses.